# ΧΡΥΣΟΒΟΥΛΛΟΙ ΛΟΓΟΙ

## ΤΗΣ ΕΝ ΑΘΩ͂ ΙΕΡΑΣ ΒΑΣΙΛΙΚΗΣ, ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΚΑΙ ΣΤΑΥΡΟΠΗΓΙΑΚΗΣ ΜΟΝΗΣ ΤΟΥ ΔΟΧΕΙΑΡΙΟΥ

Ἐπὶ Τουρκοκρατίας τὰ ἀρχεῖα τῶν Μονῶν τοῦ Ἄθω ἦσαν ἀπρόσιτα εἰς ξένους καὶ ἡμετέρους ἐκ φόβου μὴ πάθωσι καὶ ταῦτα τὰς συλήσεις, ἃς ὑπέστησαν καὶ αἱ βιβλιοθῆκαι κατὰ διαφόρους ἐποχάς.

Ἐπετρέπετο δὲ μόνον οὐχὶ ἡ ἀναδίφησις, ἀλλ᾽ ἡ παράδοσις καὶ ἀντιγραφὴ ὡρισμένων ἐγγράφων εἰς ἐπισήμους λογίους, ἔχοντας εἰδικὰ πατριαρχικὰ συστατήρια γράμματα πρὸς τὴν Κοινότητα ἐπὶ τῷ σκοπῷ τούτῳ.

Καί ποτε μάλιστα ἡ Ἐκκλησία συστήσασα τῇ ἱερᾷ μονῇ τοῦ Ἐσφιγμένου κατ᾽ εὐθεῖαν καὶ διὰ τῆς Κοινότητος, ὅπως ἀποστείλῃ εἰς Κωνσταντινούπολιν πρὸς τὴν Γερμανικὴν Πρεσβείαν παλίμψηστον κώδικα ἵνα ἀναγνώσωσιν αὐτὸν ἐκεῖ, δι᾽ ὧν εἶχον μέσων, ἅπερ ἐν Ἁγίῳ Ὄρει δὲν ὑπῆρχον, κατὰ τὴν γνώμην τῶν σοφῶν Γερμανῶν, δὲν εἰσηκούσθη ἐκ φόβου τῆς ὑπεξαιρέσεως ἢ ἀντικαταστάσεως. Μετὰ τὴν ἀπελευθέρωσιν ὅμως καὶ τοῦ Ἁγίου Ὄρους ἐκ τῆς τουρκικῆς δουλείας, ἡ ὁποία κυρίως ἐγέννα τοὺς φόβους, ἐπετράπη ἡ εἴσοδος καὶ τῶν ξένων αὐτῶν οὐ μόνον εἰς τὰ ἀρχεῖα, ὧν καὶ τὰ ἐλάχιστα τῆς βυζαντινῆς ἐποχῆς ἔγγραφα ἐφωτογράφησεν ὁ κ. Γαβριὴλ Μιλλέ, ἀλλὰ καὶ εἰς τὰ σκευοφυλάκια τῶν μονῶν, τὰ ὁποῖα πρότερον ἦσαν πάντη ἄγνωστα καὶ εἰς αὐτοὺς τοὺς νεωτέρους προϊσταμένους αὐτῶν.

Κατὰ τὴν ἐποχὴν ταύτην τῆς ἐλευθερίας ἐπετράπη καὶ εἰς ἐμὲ ἡ ἀντιγραφὴ τῶν ἐν τοῖς ἀρχείοις τῆς μονῆς τοῦ Δοχειαρίου ἐγγράφων [1] καὶ ἡ ταξιθέτησις τοῦ ὅλου αὐτῆς ἀρχείου. Ἐκ τῶν ἐγγράφων τούτων παραδίδωμι εἰς τὴν δημοσιότητα ἄνευ ὑπομνηματίσεως, ἐλλείψει ἐνταῦθα τῶν ἀναγκαιούντων βοηθημάτων, τό γε νῦν, τοὺς χρυσοβούλλους λόγους, οὓς κατέχει ἡ μονὴ αὕτη, βραδύτερον δὲ θὰ δημοσιεύσω τὰ κρισιμόγραφα ἔγγραφα τῶν διαφόρων τοῦ βυζαντινοῦ κράτους ἀπογραφέων καί τινα πατριαρχικά.

---

[1] Ἐν τῇ ἀριθμήσει τῶν ἐγγράφων μετεχειρίσθην τὰ στοιχεῖα τῆς ἀλφαβήτου πρὸς ἀποφυγὴν συγχίσεως πρὸς τοὺς ἐπί τινων ἐξ αὐτῶν ὑπάρχοντας ἀραβικοὺς ἀριθμούς.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

## 1.

## *Χρυσόβουλλος λόγος Ἀνδρονίκου τοῦ Γ'. περὶ κατοχῆς τοῦ μετοχίου τοῦ Ῥωσαίου*[1].

*(ἔτ. 6839=1331)*

Ὁ παρὼν χρυσόβουλλος λόγος ὑπ' ἀριθμὸν ἐν ἀρχείῳ τῆς Μονῆς ΙΑ' γέγραπται ἐπὶ χάρτου διαστάσεων 0,35×0,29 καὶ εἶτα ἐπικεκόλληται ἐπὶ λίαν λεπτῆς μεμβράνης.

† Ἐπεὶ οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς κατὰ τὸ Ἅγιον ὄρος τοῦ Ἄθω διακειμένης καὶ εἰς ὄνομα τιμωμένης τῶν τιμίων ἀρχιστρατήγων τῶν ἄνω δυνάμεων καὶ ἐπικεκλημένης τοῦ Δοχειαρίου, ἀνέφερον ὅτι μεθ' ὧν κέκτηνται ἑτέρων κτημάτων διὰ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου[2], καὶ ἑτέρων εὐλόγων δικαιωμάτων κατέχουσι καὶ τὸ μετόχιον αὐτῶν τὸ λεγόμενον τοῦ Ῥωσαίου τὸ διακείμενον περὶ τὸν Διαβολόκαμπον καὶ παρεκάλεσαν ἵνα πορίσωνται ἐπὶ τούτῳ καὶ χρυσόβουλλον τῆς βασιλείας μου, τὴν παράκλησιν αὐτῶν προσδεξαμένη τὸν παρόντα χρυσόβουλλον[3] ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν αὐτοὺς τὸ τοιοῦτον μετόχιον καὶ εἰς τὸ ἑξῆς ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ. Ἀλλὰ δὴ καὶ τὴν ἀποσπασθεῖσαν γῆν τῶν (χιλίων πεντακοσί)ων[4] μοδίων τοῦ Ῥωσαίου ἐκείνου καὶ δοθεῖσαν πρὸς (τοὺς βαρβαρηνοὺς) κατὰ τὴν περίληψιν τοῦ εἰρημένου χρυσοβούλλου καὶ τῶν ἑτέρων εὐλόγων δικαιωμάτων καὶ οὐδὲν εὑρίσκουσιν ἐπὶ τῇ κατοχῇ καὶ νομῇ τούτου καὶ τῆς εἰρημένης γῆς

---

[1] Τὸ μετόχιον τοῦτο ἔκειτο ἐν Καλαμαρίᾳ, ἀπωλέσθη δὲ πρὸ ἀμνημονεύτων χρόνων.

[2] Τὸ ἀναφερόμενον ὧδε χρυσόβουλλον δὲν ὑπάρχει.

[3] Ἐνταῦθα καὶ κατωτέρω ἐλλείπει ἡ λέξις λόγος· ἀφέθη χῶρος καὶ δὲν ἐγράφη.

[4] Αἱ ἐντὸς τῶν παρενθέσεων προστεθεῖσαι λέξεις ὡς ἐξίτηλοι καταστᾶσαι συνεπληρώθησαν ἐκ τοῦ ἀμέσως κατόπιν δημοσιευομένου χρυσοβούλλου.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

παρά τινος τῶν ἁπάντων τὴν τυχοῦσαν καταδυναστείαν ἢ διενόχλησιν. Τούτου γὰρ χάριν ἐπεχορηγήθη τοῖς διαληφθεῖσι μοναχοῖς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου καὶ ἐπεδόθη κατὰ μῆνα [1] τῆς τρεχούσης Ἰνδικτιῶνος... τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ ἐνάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† ***Ἀνδρόνικος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ Αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος.***

## *2.*

## ***Χρυσόβουλλος λόγος Ἰωάννου Ε΄. τοῦ Παλαιολόγου περὶ τοῦ μετοχίου τοῦ Ῥωσαίου καὶ τοῦ τῆς Ἑρμηλείας.***

*(Μάϊος τοῦ ἔτους 6851 (= 1343) ἰνδ. ια΄).*

Ὁ κατωτέρω χρυσόβουλλος λόγος ἐξεδόθη ὅτε ὁ υἱὸς τοῦ Ἀνδρονίκου Γ.΄ Ἰωάννης ὁ Παλαιολόγος ἦγε τὸ ἑνδέκατον ἔτος τῆς ἡλικίας αὐτοῦ. Ἐγράφη δὲ ἐπὶ μεμβράνης διαστάσεων 0,47×0,31 καλῶς διατηρουμένης καὶ φέρει ἀριθμ. ΙΒ΄. ἐν τῷ ἀρχείῳ. Ὑπάρχει καὶ ἕτερον ἀπόγραφον ἐφθαρμένον ὑπὸ τὸν αὐτὸν ἀριθμὸν ἐπὶ χάρτου διαστάσεων 0,27×0,29. Κάτωθι τούτου ὑπάρχουσι γεγραμμένα τὰ ἑξῆς· «εἶχε καὶ δι᾽ ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό: Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος. Τὸ παρὸν ἴσον ἀντιβληθὲν καὶ εὑρεθὲν κατὰ πάντα ἐξισάζον τῷ πρωτοτύπῳ ὑπεγράφη.»

† Ὁ εὐτελὴς Ἐπίσκοπος Σωζουπόλεως Ἰάκωβος.

† Ἐπεὶ οἱ μοναχοὶ τῆς ἐν τῷ Ἁγίῳ ὄρει τοῦ Ἄθω διακειμένης σεβασμίας Μονῆς τῆς εἰς ὄνομα τιμωμένης τῶν τιμίων ἀρχιστρατήγων τῶν ἄνω Δυνάμεων καὶ ἐπικεκλημένης τοῦ Δοχειαρίου ἀνέφερον ὅτι πρὸ χρόνων ἀπεσπάσθη ἀπὸ τοῦ περὶ τὴν Καλαμαρίαν κτήματος αὐτῆς τοῦ λεγομένου Ῥωσαίου καὶ Διαβολοκάμπου γῆ μοδίων χιλίων πεντακοσίων καὶ ἡ μὲν ἀπὸ ταύτης ἐδόθη πρὸς τοὺς βαρβαρηνοὺς ἡ δὲ πρὸς τὸν Νεοκαστρίτην, ὡσαύτως ἀπεσπάσθη

---

[1] Ὁ μὴν καὶ ἡ Ἰνδικτιὼν ἥτις εἶναι ἡ ΙΔ΄ δὲν γράφονται. Ἀφέθη χῶρος, ὅπως γραφῶσιν, ἀλλὰ τίς οἶδε τίνων ἕνεκα λόγων δὲν ἐγράφησαν.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

καὶ ἀπὸ τοῦ ζευγηλατείου αὐτῶν τῆς Ἑρμηλείας γῆ μοδίων τριακοσίων πεντήκοντα καὶ ἐδόθη πρὸς τὸν Κομνηνούτζικον ἐκεῖνον,[1] εἶτα ὁρισμῷ τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πατρὸς τῆς βασιλείας μου, τοῦ ἀοιδίμου καὶ μακαρίτου, ἀφῃρέθη ἐξ αὐτῶν ἡ τοιαύτη γῆ καὶ ἐδόθη πρὸς τὸν κύριον Μανουὴλ τὸν Βεστιάριον ἐκεῖνον κατὰ λόγον γονικότητος, εἶτα δι᾿ ἑτέρου προστάγματος διωρίσατο ὁ ἅγιός μου αὐθέντης καὶ βασιλεύς, ὁ πατὴρ τῆς βασιλείας μου, ὁ ἀοίδιμος καὶ μακαρίτης, ὡσὰν κατέχηται ἡ τοιαύτη γῆ παρὰ τῶν ῥηθέντων μοναχῶν τοῦ Δοχειαρίου καὶ κατέχεται παρ᾿ αὐτῶν αὕτη μέχρι τοῦ νῦν καὶ παρεκάλεσαν οἱ δηλωθέντες μοναχοὶ ἵνα πορίσωνται χρυσόβουλλον τῆς βασιλείας μου ἐπὶ τοῖς ῥηθεῖσι δύο κτήμασιν αὐτῶν, ἀλλὰ δὴ καὶ ἐπὶ τῇ διαληφθείσῃ γῇ τῇ κατὰ λόγον εὐεργεσίας τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πατρὸς τῆς βασιλείας μου, τοῦ ἀοιδίμου καὶ μακαρίτου, δοθείσῃ πρὸς τοὺς διαληφθέντας μοναχούς. Ἐφ᾿ ᾧ δὴ κτήματι αὐτῶν τῷ καλουμένῳ τοῦ Ῥωσαίου καὶ τοῦ Διαβολοκάμπου ἐδείμαντο ἀρτίως ἐκ νέου καὶ Πύργον οἱ τοιοῦτοι μοναχοί. Τὴν παράκλησιν αὐτῶν εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τούτοις τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς. Δι᾿ οὗ προστάσσει καὶ διορίζεται κατέχειν καὶ εἰς τὸ ἑξῆς τοὺς δηλωθέντας μοναχοὺς τὰ ῥηθέντα δύο κτήματα αὐτῶν, τό τε λεγόμενον τοῦ Ῥωσαίου καὶ τῆς Ἑρμηλείας μετὰ τῆς διαληφθείσης γῆς τῶν χιλίων ὀκτακοσίων πεντήκοντα μοδίων τῆς κατὰ λόγον εὐεργεσίας τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πατρὸς τῆς βασιλείας μου, τοῦ ἀοιδίμου καὶ μακαρίτου, τῆς δοθείσης πρὸς τοὺς δηλωθέντας μοναχοὺς ἀνενοχλήτως παντάπασι καὶ ἀδιασείστως μετὰ πάσης τῆς περιοχῆς καὶ νομῆς καὶ τῶν δικαίων αὐτῶν, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ ἔχειν ἐπ᾿ ἀδείας συνιστᾶν καὶ βελτιοῦν αὐτὰ καὶ ἐπὶ τὸ κρεῖττον καὶ βέλτιον προάγειν κατὰ τὸν ἐγχωροῦντα καὶ δυνατὸν αὐτοῖς τρόπον καὶ ὡς βούλονταί τε καὶ δύνανται καὶ κατέχειν καὶ τὰς ἐν αὐτοῖς γενησομένας βελτιώσεις μετὰ τῶν εἰς ταῦτα προσκαθημένων ἀδιασείστως. Τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ

[1] Δηλαδὴ τὸν ἀποιχόμενον, τὸν τεθνεῶτα.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξουσι μὲν οἱ δηλωθέντες μοναχοὶ τῆς σεβασμίας Μονῆς τοῦ Δοχειαρίου τὰ δηλωθέντα κτήματα αὐτῶν καὶ τὸν ἐν αὐτοῖς Πύργον μετὰ καὶ τῆς διαληφθείσης γῆς τῆς κατὰ λόγον εὐεργεσίας δοθείσης πρὸς αὐτοὺς παρὰ τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πατρὸς τῆς βασιλείας μου, τοῦ ἀοιδίμου καὶ μακαρίτου, ἀναφαιρέτως πάντῃ καὶ ἀναποσπάστως καὶ ἀδιασείστως καὶ οὐδόλως εὑρήσουσι παρά τινος εἴς τι ἐξ αὐτῶν καταδυναστείαν καὶ ἀδικίαν τινά.

Τούτου γὰρ χάριν ἐγένετο αὐτοῖς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἀπολυθεὶς κατὰ μῆνα Μάϊον τῆς νῦν τρεχούσης ἑνδεκάτης Ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ πρώτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† ***Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος.***

† ***Διὰ τοῦ πρωτοσεβαστοῦ Ἰωάννου τοῦ Ῥαούλ.***

## 3.

## *Χρυσόβουλλος λόγος Στεφάνου αὐτοκράτορος Σερβίας καὶ Ῥωμανίας περὶ τῶν χωρίων Καστελίου καὶ Ῥαβενικαίας.*

*(Μάρτιος τοῦ ἔτους 6857 (=1349) ἰνδ. β').*

Ὁ χρυσόβουλλος οὗτος λόγος ἐγράφη ἐπὶ μεμβράνης διαστάσεων 0,29×0,29, ὁ δὲ ἐν αὐτῷ ἀναφερόμενος ἕτερος χρυσόβουλλος δὲν ὑπάρχει. Ὁ ὑπογράφων αὐτὸν Στέφανος εἶναι ὁ φιλόδοξος Δουσσὰν (1331 - 1355), ὅστις τῷ 1352 ἀφωρίσθη ὑπὸ τοῦ Πατριάρχου Καλλίστου, διότι, παρὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας ἥνωσεν ἑλληνικάς τινας μητροπόλεις ἐν Μακεδονίᾳ μετὰ τῆς ἀρχιεπισκοπῆς Πεκίου, καὶ διότι ὑπῆρχεν ἡ ὑπόνοια, ὅτι ἀπέκλινεν εἰς τὸν Παπισμόν, τῷ δὲ 1376 συνεχωρήθη ὑπὸ τοῦ Πατριάρχου Φιλοθέου, ἀφ' οὗ διεκανονίσθη τὸ ζήτημα τὸ προκαλέσαν τὸν ἀφορισμὸν καὶ ἡ Σερβικὴ Ἐκκλησία καὶ ὁ λαὸς μετὰ τοῦ ἡγεμόνος Λαζάρου διὰ πρεσβείας, ἐχούσης ἐπὶ κεφαλῆς ζηλωτήν τινα ἁγιορείτην μοναχὸν Ἠσαΐαν ἐξητήσαντο συγγνώμην. Μετὰ τὴν φυγὴν τῶν Σέρβων ἐκ Μακεδονίας ἔπαυσε τὸ μνημόσυνον αὐτοῦ ἐν τῇ μονῇ, ἅτε μὴ θεωρουμένου εὐεργέτου αὐτῆς, ὡς δείκνυται ἐκ τῶν εἰλη-



Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

τῶν. Τὰ δὲ χωρία ἀποκατέστησεν αὕτη ἐν τῇ ἐλευθερίᾳ. Τὸ χρυσόβουλλον ἐν τῷ ἀρχείῳ φέρει ἀριθ. ΙΓ΄.

† Ἐπεὶ πρὶν εὐηργέτησεν ἡ βασιλεία μου τῇ σεβασμίᾳ βασιλικῇ Μονῇ τῶν τιμίων Ἀσωμάτων ἀΰλων ἐπουρανίων ἀρχαγγέλων Μιχαὴλ καὶ Γαβριὴλ καὶ ἐπικεκλημένου τοῦ Δοχειαρίου διὰ προγενεστέρου χρυσοβούλλου τῆς βασιλείας μου τὸ χωρίον τοῦ Βερνάρου περὶ τὰς Σέρρας καὶ περὶ τὴν Σλάνιτζαν χωρίον τὴν Σφέστιανην. Διὰ γοῦν ἀναγγέως τινὰς δουλείας τῆς βασιλείας μου ἀφιρέθησαν ἐξ αὐτῆς τῆς σεβασμίας τὰ τοιαῦτα χωρία ἀρτίως καὶ ἀντ᾽ αὐτὰ δωρεῖται καὶ εὐεργετεῖ ἡ βασιλεία μου τὴν ρηθεῖσαν σεβασμίαν Μονὴν τοῦ Δοχειαρίου τὸ καστέλιον, τὴν Ῥαβενίκαιαν σὺν τοῦ ἐκεῖσαι πύργου καὶ τῶν εὑρισκομένων παροίκων καὶ ἐλευθέρων ἀμπελίων καὶ χωραφίων καὶ μεθ᾽ ὃν ἔχει δικαίων καὶ προνομίων καὶ πάσης τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ καὶ ἀπολύει τὸν παρόντα χρυσόβουλλον λόγον τῆς βασιλείας μου· ὅθεν καὶ τῇ ἰσχΰϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει μὲν καὶ νεμηθήσεται ἡ τοιαύτη σεβασμία τῶν τιμίων ἀρχαγγέλων ἐπουρανίων καὶ νοερῶν δυνάμεων Μιχαὴλ καὶ Γαβριὴλ καὶ ἐπικεκλημένου τοῦ Δοχειαρίου, τὸ ῥηθὲν καστέλιον, τὴν Ἀραβενίκαιαν μετὰ τοῦ ἐκεῖσε πύργου καὶ τῶν ἀνθρώπων καὶ πάσης τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ ἀνενοχλήτως, ἀναποσπάστως καὶ ἀναφαιρέτως καὶ ἐκτὸς βάρους τινὸς καὶ πάσης ἐπειρείας δημοσιακῆς καὶ συζητίας (;) καὶ οὔτε ζευγαρατείας ἢ δημοδέων (;) ἢ μετα . . . ἀπετηθήσεται ποτὲ ἐξ αὐτῆς δὴ τῆς Ἀραβενίκαιας οὔτε μὴν καστροκτησίας ἢ ἀγκαρίας ἢ ἄλοι τις ἐπείριά τε καὶ δόσις ἄλλως τῷ θεῷ ἀφιερωμένα διατηρόνται ἀνέπαφα ἀπάτιτα καὶ ἀκαταδούλοτα τούτου καὶ χάριν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου καὶ ἀπελύθι τῇ διαληφθείσι σεβασμίᾳ μου μονῇ ἐν μηνὶ Μάρτιον τῆς νῦν τρεχούσης ἰνδίκτου β΄. τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ εὐδό-

3 ἐπικεκλημένῃ 6 ἀναγκαίας 7 ἀφῃρέθησαν 10 ἐκεῖσε 11 μεθ᾽ ὧν 17 ἐπικεκλημένῃ 20 ἐπηρείας 22 ἀπαιτηθήσεται 23 καστροκτισίας ἀγγαρείας ἄλλη τις ἐπήρεια 24 διατηρῶνται 25 ἀπάτητα 25 ἀκαταδούλωτα 26 ἀπελύθη 26 - 27 διαληφθείσῃ 28 - 29 ἑβδόμου.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

μου ἔτους ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβέστατον καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† ***Στέφανος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Σερβίας καὶ Ρωμανίας.***

## *4.*

## ***Χρυσόβουλλος λόγος Ἰωάννου τοῦ Καντακουζηνοῦ περὶ ἱκανοποιήσεως τοῦ Δημητρίου Δεβλιτζηνοῦ[1] ἐκ τοῦ χωρίου Ἑρμηλείας.***

*(Ὀκτώβριος τοῦ ἔτους 6858 (=1350) ἰνδ. γ΄.)*

Ὁ χρυσόβουλλος οὗτος λόγος γεγραμμένος ἐπὶ χάρτου διαστάσεων 0,35×0,28, φέρει ἀριθμὸν ΙΔ΄ καὶ ἐπεδόθη τῇ Μονῇ μετὰ τοῦ ἐν Ἑρμηλείᾳ γονικοῦ κτήματος τοῦ Δεβλιτζηνοῦ «πρὸς τῷ μνημονεύεσθαι αὐτόν τε καὶ τοὺς γονεῖς αὐτοῦ, (καὶ παρέχειν) πρός τε ἐκεῖνον ζῶντα ἀδελφάτα τρία καὶ μετὰ θάνατον ἐκείνου πρὸς ἕτερον καὶ μόνον δεύτερον πρόσωπον ὅ, ὁ πατὴρ αὖ ἐν τῇ τελευτῇ αὐτοῦ διακρίνῃ καὶ παρέχωσι πρὸς ἔτι περιὸν πρόσωπον ἐντὸς τῆς Θεσσαλονίκης ὅσα δηλονότι (;) καὶ ὑπόσχονται ἐν τῷ τοιούτῳ τῆς συμφωνίας γράμματι, ἤγουν σίτου ταγάρια ἀδελφαταρικὰ εἴκοσι τέσσαρα ἀρκοῦντα ἀνελλιπῶς τρισὶν ἀδελφάτοις, ἤτοι κάρτας τρεῖς καὶ ὀσπρίων ταγάρια τέσσαρα τοιαῦτα, χάριν δὲ κρασίου τῶν τριῶν ἀδελφάτων σίτου ταγάρια τοιαῦτα δεκαέξ, ἤτοι κάρτας δύο, ἔκ τε ἐλαίου τετάρτια δύο καὶ τυροῦ λίτρας πεντήκοντα, μετὰ δὲ καὶ τὴν τοῦ δευτέρου προσώπου τελευτὴν παύονται καὶ τὰ ἀδελφάτα.» Ἐδόθη δὲ τὸ κτῆμα τοῦτο εἰς τὴν Μονὴν πρὸ τοῦ ἀποκλεισμοῦ τῶν Τούρκων, ὁπότε ὁ υἱὸς τοῦ Δεβλιτζηνοῦ Μανουὴλ «ἀνελθὼν ἐν τῇ μάχῃ τῶν Τούρκων εἰς τὸν Χορταΐτην ἐκ βασιλικῆς προστάξεως ἐτελεύτησεν ἐκεῖ.» Ἔγγραφον ἐν ἀρχείῳ Μονῆς ὑπὸ στοιχ. ΚΗ.

† Ἐπεὶ διωρίσατο ἡ βασιλεία μου διὰ προστάγματος ὡσὰν ἔχῃ ὁ οἰκεῖος αὐτῇ κύριος Δημήτριος ὁ Δεβλιτζηνὸς ἀπὸ τῆς δι᾿ οἰκονομίας ποσότητος τῶν τετρακοσίων ὑπερπύρων κατὰ λόγον γονικότητος, ποσότητα ὑπερπύρων ἑκατὸν, ἀνέφερε δὲ καὶ παρεκά-

[1] Ὁ Δεβλιτζηνὸς ἐν ἑτέροις ἐγγράφοις Δοβλιτζηνὸς ἀναφέρεται. Βλέπε καὶ Regel-Kurtz-Korablev, Actes de l'Athos IV Actes de Zographou Παράρτ. ΙΓ΄. τόμ. Βυζαντ. Χρονικ. XXIV, 7, 17 XXVII, 30, 51 XXXIII 40.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

λεσεν εἰς τὴν βασιλείαν μου ὡσὰν πορίσηται ἐπὶ τῇ τοιαύτῃ γονικῇ ποσότητι τῶν ἑκατὸν ὑπερπύρων καὶ χρυσόβουλλον αὐτῆς καὶ ἱκανοποιηθῇ ταύτην ἀπό τε τῆς εἰς τὸ χωρίον, τὴν Ἑρμήλειαν, ποσότητος, ἥντινα προκατεῖχεν εἰς ὅσην ἂν αὕτη περιστῇ, ἀπογραφικὴν ποσότητα καὶ τὸ λοιπαζόμενον ἀπὸ τῆς λοιπῆς δι᾿ οἰκονομίας ποσότητος αὐτοῦ, τὴν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ, δι᾿ οὗ προστάσσει καὶ διορίζεται ἱκανοποιηθῆναι μὲν αὐτὸν τὴν τοιαύτην ποσότητα τῶν ἑκατὸν ὑπερπύρων ἀπό τε τῆς εἰς τὸ χωρίον, τὴν Ἑρμήλειαν, ποσότητος, ἣν προκατεῖχεν, ὡς εἴρηται, καὶ ἀπὸ τῆς ἑτέρας αὐτοῦ οἰκονομίας, κατέχειν δὲ εἰς τὸ ἑξῆς ταύτην ἀνενοχλήτως, ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ συνιστᾶν καὶ βελτιοῦν ταύτην, καθὼς ἂν βούλοιτό τε καὶ δύναιτο, καὶ παραπέμπειν ταύτην πρὸς τοὺς ἐξ ὀσφύος παῖδας τοὺς οἰκείους κληρονόμους καὶ διαδόχους αὐτοῦ ἐπὶ τῷ κατέχεσθαι καὶ παρ᾿ αὐτῶν, τὸν ἴσον καὶ ὅμοιον τρόπον ἀναφαιρέτως καὶ κατὰ λόγον, ὡς εἴρηται, γονικότητος· ὅθεν καὶ τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει μὲν οὗτος ὁ ῥηθεὶς Δεβλιτζηνὸς καὶ νέμεται τὴν τοιαύτην ποσότητα τῶν ἑκατὸν ὑπερπύρων καθὼς μέλλει παραδοθῆναι πρὸς αὐτὸν ὡς ἀνωτέρω δεδήλωται ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ κατὰ λόγον γονικότητος, παραπέμψει δὲ ταύτην καὶ πρὸς τοὺς ἐξ ὀσφύος παῖδας τοὺς γνησίους κληρονόμους καὶ διαδόχους αὐτοῦ ἐπὶ τῷ κατέχεσθαι καὶ παρ᾿ αὐτῶν τὸν ἴσον καὶ ὅμοιον τρόπον ἀνενοχλήτως καὶ ἀναφαιρέτως καὶ κατὰ λόγον, ὡς εἴρηται, γονικότητος. Ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου καὶ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη αὐτῷ δὴ τῷ εἰρημένῳ οἰκείῳ τῇ βασιλείᾳ μου κυρίῳ Δημητρίῳ τῷ Δεβλιτζηνῷ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἀπολυθεὶς κατὰ μῆνα Ὀκτώβριον τῆς ἐνισταμένης τρίτης Ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ ὀγδόου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† ***Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Καντακουζηνός.***

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

## 5.

## *Χρυσόβουλλος λόγος Ἰωάννου τοῦ Παλαιολόγου, δι᾿ οὗ ἐξασφαλίζονται εἰς τὸν ἀδνομιαστὴν Γεώργιον τὸν Κατζαρᾶν 2400 μόδιοι γῆς ἐν Καλαμαρίᾳ ἐκ τοῦ Πατρικωνᾶ, ἀνήκοντος τῇ Μονῇ τοῦ Δοχειαρίου.*

*(Ἰανουάριος τοῦ ἔτους 6859 (= 1351) Ἰνδ. δ΄.)*

Ὁ χρυσόβουλλος οὗτος λόγος ἐστὶν ἐφθαρμένος ἐν τοῖς μέρεσιν, ἔνθα εἰσὶ τὰ ἀποσιωπητικὰ καὶ ἔνθα ἐλλείπουσι μία ἢ δύο λέξεις. Ἐγράφη δὲ ἐπὶ μεμβράνης διαστάσεων 0,70×0,31 καὶ φέρει ἀριθμὸν ΙΕ΄.

Ὁ ἀδνομιαστὴς Γ. Κατζαρᾶς ἀπατήσας τὸν αὐτοκράτορα ἔλαβε τὸν κατωτέρω χρυσόβουλλον λόγον, καὶ διὰ τοῦτο, ἐν ὅσῳ ἔζη, δὲν ἐτόλμα, ἵνα ποιήσηται λόγον εἰς τὴν Μονὴν καὶ ἐκστῇ ἐκ τοῦ κτήματος ἐκείνου τοῦ Πατρικωνᾶ, ὅπερ διὰ παλαιγενῶν ἐγγράφων κατεῖχε καὶ ἀνενοχλήτως ἐνέμετο. Μετὰ τὸν θάνατον ὅμως αὐτοῦ ὁ υἱὸς αὐτοῦ Ἰωάννης ἐνεκάλεσε τὴν Μονὴν ἐνώπιον τοῦ αὐτοκράτορος ζητῶν τὸ κτῆμα ἐκεῖνο. Ὁ αὐτοκράτωρ λαβὼν γνῶσιν τοῦ πράγματος συνέστησε δικαστήριον ἐκ τοῦ Γεωργίου Δούκα τοῦ Τζυκανδυλήνου, τοῦ μεγάλου χαρτοφύλακος, οὗ τὸ ὄνομα κατέστη ἐξίτηλον, καὶ Λασκάρεως τοῦ Κεφαλᾶ, ὅπως δικάσῃ κανονικῶς τὴν ὑπόθεσιν. Τὸ δικαστήριον τοῦτο ἐδικαίωσε τὴν Μονήν, προσαγαγοῦσαν ἅπαντα αὐτῆς τὰ παλαιγενῆ ἔγγραφά τε καὶ δικαιώματα καὶ οὐχὶ τὸν υἱὸν τοῦ ἀδνομιαστοῦ, ὁ ὁποῖος δὲν ἠδυνήθη νὰ προσαγάγῃ οὐδὲ ἓν ἔγγραφον ἀποδεικνύον τὴν κυριότητα καὶ κατοχήν, οὐδὲ διὰ μαρτύρων ἠδυνήθη νὰ ἀποδείξῃ ταύτην, ἀλλ᾿ οὐδὲ ἐπιστασίαν τινὰ ἠθέλησε γενέσθαι. (Ὅρα Ἱστορ. Μ. Δοχειαρίου ὑπὸ Ἀρχ. Χριστ. Κτενᾶ σ. 25-26).

† Ἐπειδὴ ὁ οἰκεῖος τῇ βασιλείᾳ ἡμῶν μέγας ἀδνομιαστὴς κύριος Γεώ(ργιος) (Κατζαρᾶς) ἐφάνη εὔνους καὶ πιστὸς εἰς τὴν βασιλείαν ἡμῶν καὶ ἐπιμελὴς... τὰς δουλείας αὐτῆς, ἀνέφερε δὲ οὗτος ὅτι κέκτηται χρόνους.. εἰκοσιτέσσαρας δι᾿ ἀπογραφικῶν παραδόσεων ἐν τῇ Καλαμαρίᾳ πλησίον τῶν πύργων τοῦ τε Ὀξύνου καὶ τοῦ Δοχειαρίου, ἔτι δὲ καὶ τῶν συνόρων τῆς ἐκεῖ γῆς τῶν Ἰβήρων μοναχῶν εἰς τὸ ποσὸν τῆς οἰκονομίας αὐτοῦ γῆν καλουμένην τοῦ Πατρικωνᾶ μετὰ τῆς ἐν αὐτῇ καθέδρας μοδίων οὖσαν δισχιλίων τετρακοσίων, εἰς (ὑπέρπυρα) τεσσαράκοντα ὀκτὼ καὶ κατέχει καὶ νέμεται ταύτην ἀνενοχλήτως μέχρι τοῦ νῦν καὶ παρεκά-

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

λεσεν ὅπως πορίσηται χρυσόβουλλον τῆς βασιλείας ἡμῶν καὶ κατέχῃ ταύτην εἰς τὸ ἑξῆς κατὰ λόγον γονικότητος, τὴν παράκλησιν αὐτοῦ προσδεξαμένη αὕτη ἐπιχορηγεῖ αὐτῷ τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς, δι᾽ οὗ προστάσσει καὶ διορίζεται κατέχειν εἰς τὸ ἑξῆς τὸν δηλωθέντα μέγαν ἀδνομιαστὴν τὸν Κατζαρᾶν τὴν διαληφθεῖσαν γῆν τοῦ Πατρικωνᾶ μετὰ τῆς ἐν αὐτῇ καθέδρας καὶ ὡς κατέχει καὶ νέμεται ταύτην μέχρι τοῦ νῦν ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ κατὰ λόγον γονικότητος καὶ συνιστᾶν καὶ βελτιοῦν αὐτὴν καὶ ἐπὶ τὸ κρεῖττον καὶ βέλτιον προάγειν κατὰ τὸν ἐγχωροῦντα καὶ δυνατὸν αὐτῷ τρόπον καὶ ὡς βούλεταί τε καὶ δύναται καὶ ἔχειν ἐπ᾽ ἀδείας παραπέμπειν ταύτην μετὰ τῶν ἐν αὐτῇ γενησομένων βελτιώσεων καὶ πρὸς τοὺς ἐξ ὀσφύος γνησίους παῖδας καὶ κληρονόμους αὐτοῦ ἐπὶ τὸ κατέχεσθαι καὶ παρ᾽ αὐτῶν κατὰ τὸν ἴσον καὶ ὅμοιον τρόπον καὶ ἀποδιδόναι τὴν ἀνήκουσαν καὶ ὀφειλομένην ὑπ᾽ αὐτῶν δουλείαν. Τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας ἡμῶν καθέξει μὲν ὁ ῥηθεὶς μέγας ἀδνομιαστὴς ὁ Κατζαρᾶς τὴν ῥηθεῖσαν γῆν τοῦ Πατρικωνᾶ μετὰ τῆς ἐν αὐτῇ καθέδρας καὶ τῶν ἐν αὐτῇ γενησομένων βελτιώσεων ἀναφαιρέτως παντάπασι καὶ ἀναποσπάστως, ἔτι (τε ἀνενοχλήτως καὶ ἀδιασείστως) διὰ πάσης τῆς αὐτοῦ ζωῆς, μετὰ δὲ τὴν τούτου ἀποβίωσιν καθέξουσι ταῦτα καὶ νεμηθήσονται καὶ οἱ τούτου γνήσιοι παῖδες καὶ κληρονόμοι ἀνεπαυξήτως καὶ κατὰ λόγον γονικότητος καὶ κατὰ τὸν αὐτὸν καὶ ἴσον καὶ ὅμοιον τρόπον ἀποδιδόντες καὶ αὐτοὶ τὴν ἀνήκουσαν καὶ ὀφειλομένην ὑπὲρ αὐτῶν δουλείαν. Τούτου γὰρ χάριν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας ἡμῶν ἀπολυθεὶς κατὰ μῆνα Ἰανουάριον τῆς νῦν τρεχούσης τετάρτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ ἐνάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† ***Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος.***

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

## 6.

## *Χρυσόβουλλον Ἰωάννου Ε΄ τοῦ Παλαιολόγου, δι' οὗ ἐξασφαλίζονται τὰ ὅρια τῆς ἐν Ἄθῳ ἱερᾶς μονῆς τοῦ Δοχειαρίου.*

Μέγεθος μεμβράνης, καλῶς διατηρουμένης, 0,55×0,30 καὶ διάμετρος χρυσῆς σφραγῖδος 0,035. Ἐν τῷ ἀρχείῳ τῆς μονῆς εὑρίσκεται ὑπὸ τὰ στοιχεῖα ΙΣΤ΄.

Οὐδὲν οὕτως ἴδιον πέφυκεν εἶναι τοῦ τὴν Αὐτοκρατορικὴν ἀρχὴν περιεζωσμένου παρὰ Θεοῦ, ὡς καὶ μετὰ φιλανθρωπίας καὶ γαληνότητος, τὰς τῶν ὑπηκόων δεήσεις προσίεσθαι, καὶ τούτοις ὀρέγειν χεῖρα τὴν δυνατὴν καὶ τὰ κατ' αἴτησιν ἐκπληροῦν. Πολλῷ δὲ πλέον ἰδιαίτατον ἂν εἴη καὶ προσῆκον τῷ βασιλεῖ εὐμενῶς προσδέχεσθαι τὰς ἱκεσίας τῶν ἐπανῃρημένων τὸν κατὰ θεὸν βίον, καὶ ἀρετῇ καὶ ἀγαθοῖς τρόποις σεμνυνομένων, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ὑπερευχομένων ὀφειλομένως αὐτοῦ. Οὕτω γὰρ ἂν ἀμφοτέρωθεν ὁ τοῦ δικαίου διασῴζοιτο λόγος· ὁμοῦ τε γὰρ οἱ σπουδαῖοι καὶ θεοφιλεῖς ἄνδρες οὗτοι, καλῶς ταῖς εὐχαῖς διὰ τὸ ἀπερίσπαστον ἐπεκτείνεσθαι μέλλουσι τοῖς ἔμπροσθεν ὑπὲρ βασιλέως, καὶ αὐτὸς τὰ οἰκεῖα καὶ προσήκοντα τῇ βασιλικῇ περιωπῇ ἔχοι ἂν φιλοτίμως ἀποπληροῦν· καὶ ταύτῃ τὰς ἀμοιβὰς εὖ μάλα κατὰ τὴν πρόσθεν ἀποδιδόναι τῷ προορίσαντι τοῦτον εἰς βασιλείαν.

Ἐπεὶ τοίνυν οἱ ἐνασκούμενοι τῇ κατὰ τὸ Ἅγιον ὄρος τοῦ Ἄθω Σεβασμίᾳ Μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τῶν Τιμίων Ἀσωμάτων Δυνάμεων, καὶ ἐπικεκλημένῃ τοῦ Δοχειαρίου, ἀναδραμόντες εἰς τὴν βασιλείαν μου, ἀνέφερον ὅτι πρόσεστι τῇ κατ' αὐτοὺς ταύτῃ Μονῇ, ἄνωθεν καὶ ἐκ μακρῶν τῶν χρόνων περὶ τῶν αὐτῶν ὁροθεσίων διὰ παλαιγενῶν ἐγγράφων δικαιωμάτων γῆ γονικὴ ἡ οὕτω πως ἐπονομαζομένη Δάφνη [1] κέκτηται ἡ τοιαύτη διὰ προσηλώματος. Ἀλλὰ δὴ καὶ τὴν τοῦ Καλλιγράφου Μονὴν ἐξ ἀγορασίας περιελθοῦσαν αὐτῇ, καὶ πρακτικῶς κέκτηται ἡ τοιαύτη Μονὴ ὁμοίως καὶ ἕτερα ὁροθέσια καθὼς καὶ εἰς πλάτος διασαφοῦσι τὰ

---

[1] Ἐνταῦθα φαίνεταί μοι, ὅτι παρελείφθη ἡ ἀντωνυμία ἥν, δηλαδὴ γῆν γονικήν.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

ἐπιγράμματα [1] τῆς τοιαύτης Μονῆς. Ἔνθεν τοι καὶ ἐδέησαν οἱ δηλωθέντες μοναχοί, κατὰ τὸ προσὸν τῇ Μονῇ ἄνωθεν δίκαιον, ἐπιβραβευθῆναι αὐτῇ χρυσόβουλλον τῆς βασιλείας μου, ἐπὶ τῷ προσεῖναι τὰ εἰρημένα ταύτῃ καὶ ἀφιερωμένα, διὰ τῶν παλαιγενῶν δικαιωμάτων αὐτῆς. Τὴν τούτων δέησιν εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου, τὸν παρόντα λόγον χρυσόβουλλον ἐπιχηρηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς, δι᾽ οὗ θεσπίζει, προστάσσει καὶ διορίζεται, ὡς ἂν κατὰ τὰς περιλήψεις τῶν προσόντων δικαιωμάτων ταύτῃ δὴ τῇ σεβασμίᾳ Μονῇ τοῦ Δοχειαρίου, κατέχῃ αὐτὴ ὡς τὸ πρότερον ἄνωθεν καὶ ἐκ μακρῶν τῶν χρόνων, κατὰ τὸν ἀναγεγραμμένον τρόπον, προσκεκυρωμένα καὶ ἀφιερωμένα αὐτῇ, ἤτοι τὴν γονικὴν γῆν τὴν ἐπιλεγομένην Ἀρχοντίτζαν, μετὰ τῆς περιοχῆς αὐτῆς, ὁμοίως καὶ τὰ ὁροθέσια, τὰ εἰς πλάτος διασαφοῦντα ἐπιγράμματα τῆς τοιαύτης. Ἄρχεται οὖν ἐκ τῆς πρακτικῆς Μονῆς τοῦ Καλλιγράφου ἀπὸ τὸν αἰγιαλόν, ἔνθα βράχος τετρυπημένος [2] καὶ ἀνέρχεται εἰς πέτραν στεφανέαν, καὶ ἀπ᾽ αὐτῆς κρατεῖ τὸ πλάγιον πρὸς ἀνατολάς, καὶ ἔρχεται, ἔνθα ἔνι τὸ γεράνεον χῶμα, καὶ ἀνέρχεται τὸν αὐχένα· διερχόμεθα ἐπάνω τῶν ἄσπρων πετρῶν, καὶ ἀκουμβίζει ἕως τοῦ χωραφίου τοῦ Κασταμονίτου· εἶτα διέρχεται τὴν ἐρχομένην ὁδὸν ἐκ τοῦ Κασταμονίτου εἰς τοῦ Καλλιγράφου καὶ ἀνέρχεται εἰς τὴν τούμβαν, ἔνθα εἰσὶ καὶ τεθραυσμέναι πέτραι, καὶ κρατεῖ τὸν μέγαν ῥάχωνα καθὼς τὰ ὕδατα ῥέουσι, καὶ ἀνέρχεται εἰς τὴν τρυπημένην πέτραν, δεξιὰ περιοριζόμεθα, ἀριστερὰ δὲ τὰ δίκαια τοῦ ἁγίου Στεφάνου, καὶ ἀπὸ τὴν τρυπημένην πέτραν κρατῶν τὸν αὐτὸν ῥάχωνα, τὴν σουσούραν, ἕως εἰς τὴν σελλάδα, καὶ ἀνερχόμεθα εἰς τὴν ῥάχιν τοῦ προφήτου Ἠλιού, καὶ κλίνει εἰς τὴν μεγάλην ὁδόν, ἔνθα καὶ σταυρὸς ἵσταται, καὶ εἰς τὴν στρογγυλόρραχιν, κρατῶν τὴν μεγάλην ὁδόν, καὶ εἰς τὸν σταυρὸν καὶ πάλιν ἀνέρχεται κρατῶν

[1] Ἤτοι ἔγγραφα ἐν γένει, εἴτε ἀφιερωτήρια, εἴτε ἀγοραστήρια.

[2] Ἐν τῷ χρυσοβούλλῳ τούτῳ περιελήφθησαν τά τε ὅρια τοῦ Καλλιγράφου ἐκ τοῦ πωλητηρίου ἐγγράφου τῆς μεγάλης μέσης, τοῦ ἐκδοθέντος κατὰ μῆνα Ἰούνιον τῆς ιγ΄. ἰνδικτιῶνος τοῦ ἔτους 1345 καὶ τὰ πέριξ τῆς μονῆς μέχρι τοῦ πρὸς μεσημβρίαν ἐν τῇ θαλάσσῃ ὑπάρχοντος ἐπὶ βράχου σιδηροῦ σταυροῦ. Ἔγγραφον ἐν ἀρχείῳ Μονῆς ὑπὸ στοιχ. 1 ΝΑ΄.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

τὸν αὐτὸν ῥάχωνα, ἔνθα πέτραι ῥιζιμαῖαι εἰσὶ καὶ σταυρὸς καὶ ἀνέρχεται ἄνωθεν τοῦ Σκαμανδρηνοῦ καὶ ἀνέρχεται εἰς τὴν κορυφὴν τοῦ μεγάλου βουνοῦ, τοῦ ἐπάνω τῶν Ἁγίων Ἀποστόλων, καὶ κλίνει πρὸς μεσημβρίαν, καὶ κρατῶν τὸν ῥάχωνα ἄνωθεν τῆς λούστρας, ἕως εἰς τὸν ποταμὸν κάτωθεν τῆς βρύσης· καὶ ἀνέρχεται διὰ τοῦ πέραν μέρους τὸν μέγαν ῥάχωνα, καὶ κρατῶν τὸν ζυγὸν κατέρχεται εἰς τὰς τρεῖς μπάρας, καὶ εἰς τὸ γυμνὸν ταῖς σουσούραις· καὶ κρατῶν τὸν ράχωνα καὶ εἰς τοῦ Ματζούκη τὸ ἁλῶνι, καὶ τὸν αὐτὸν ῥάχωνα, ἕως εἰς τὸν μέγαν ποταμὸν τὸν Νευροκόπον· καὶ πέρα εἰς τὸν κόκκινον βράχον, καὶ ἀνέρχεται εἰς τὴν ῥάχιν κάτωθεν τὸ Πλακαρεῖον, καὶ κρατῶν τὸν ῥάχωνα ἕως τῆς θαλάσσης· τὰ μὲν ἀριστερὰ ὕδατα ῥέοντα, τὰ δίκαια τοῦ Ξενοφῶντος· καὶ δεξιὰ περιοριζόμενον· καὶ σώνει, ἔνθα σταυρὸς ἵσταται εἰς τὴν θάλασσαν τὴν μεγίστην πέτραν.

Οὕτως ἀνενοχλήτως μηδενὸς τῶν ἁπάντων, κἂν ὅστις ἄρα καὶ ᾖ, πειραθησόμενον ἐπενεγκεῖν αὐτῇ ἐπήρειαν, καὶ καταδυναστείαν τινά, ἢ τὸν τυχόντα διασείσῃ. Τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, καθέξει καὶ νεμηθήσεται τὸ μέρος τῆς αὐτῆς Μονῆς, τὰ ἀνωτέρω κατὰ μέρος εἰρημένα, καθὼς κατεῖχε ταῦτα καὶ πρότερον, κατὰ τὰς περιλήψεις τῶν προσόντων Αὐτῇ ἐπὶ τούτοις εὐλόγων δικαιωμάτων. Ἐξαιρέτως ἀρτίως διορίζεται ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου ὁρισμοῦ αὐτῆς ἐπανισωθῆναι ταύτῃ καὶ τοιαύτῃ Μονῇ καὶ κατέχεσθαι παρ᾽ αὐτῆς ὡς καὶ πρότερον. Ἐπεὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, καὶ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῇ διαληφθείσῃ σεβασμίᾳ Μονῇ τοῦ Δοχειαρίου, ἀπολυθεὶς κατὰ τὴν εἰκοστὴν δευτέραν τοῦ παρόντος Σεπτεμβρίου μηνός, τῆς ἐνισταμένης ἐνάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑξηκοστοῦ δ΄. ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

***Ἰω(άννης) ἐν Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαί(ων) ὁ Παλαιολόγος.***

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

## 7.

## *Ἕτερος χρυσόβουλλος λόγος τοῦ αὐτοῦ αὐτοκράτορος Ἰωάννου τοῦ Παλαιολόγου.*

Ὁ ὑπ' ἀριθ. 1 ΙΖ'. χρυσόβουλλος οὗτος λόγος ἐγράφη τῇ 22 Σεπτεμβρίου τοῦ ἔτους 6864 (μ. Χ. 1356) ἰνδ. θ'.) ἐπὶ μεμβράνης διαστάσεων 0,60×0,33. Διατηρεῖται δὲ ἄριστα καὶ ἡ γραφή ἐστι καθαρωτάτη· ὑπάρχει καὶ ἀντίγραφον ἐπὶ μεμβράνης λεπτῆς, διαστάσεων 0,69×0,24 ὑπὸ στοιχ. ΙΖ'·

† Οὐδὲν οὕτως ἴδιον πέφυκεν εἶναι τοῦ τὴν αὐτοκρατορικὴν ἀρχὴν περιεζωσμένου παρὰ Θεοῦ ὡς τὸ μετὰ φιλανθρωπίας καὶ γαληνότητος τὰς τῶν ὑπηκόων δεήσεις προσίεσθαι καὶ τούτοις ὀρέγειν χεῖρα τὴν δυνατὴν καὶ τὰ κατ' αἴτησιν ἐκπληροῦν, πολλῷ δὲ πλέον ἰδιαίτατον ἂν εἴη καὶ προσῆκον τῷ βασιλεῖ, εὐμενῶς προσδέχεσθαι τὰς ἱκεσίας τῶν ἐπανῃρημένων τὸν κατὰ Θεὸν βίον, καὶ ἀρετῇ καὶ ἀγαθοῖς τρόποις σεμνυνομένων καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ὑπερευχομένων ὀφειλομένως αὐτοῦ. Οὕτω γὰρ ἂν ἀμφοτέρωθεν ὁ τοῦ δικαίου διασώζοιτο λόγος· ὁμοῦ τε γὰρ οἱ σπουδαῖοι καὶ θεοφιλεῖς ἄνδρες οὗτοι, καλῶς ταῖς εὐχαῖς διὰ τὸ ἀπερίσπαστον ἐπεκτείνεσθαι μέλλουσι τοῖς ἔμπροσθεν ὑπὲρ βασιλέως, καὶ αὐτὸς τὰ οἰκεῖα καὶ προσήκοντα τῇ βασιλικῇ περιωπῇ ἔχοι ἂν φιλοτίμως ἀποπληροῦν καὶ ταύτῃ τὰς ἀμοιβὰς εὖ μάλα κατὰ τὴν πρόθεσιν ἀποδιδόναι τῷ προορίσαντι τοῦτον εἰς βασιλέα.

Ἐπεὶ τοίνυν οἱ ἐνασκούμενοι τῇ κατὰ τὸ ἅγιον ὄρος τοῦ Ἄθω σεβασμίᾳ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τῶν Τιμίων Ἀσωμάτων Δυνάμεων, καὶ ἐπικεκλημένῃ τοῦ Δοχειαρίου, ἀναδραμόντες εἰς τὴν βασιλείαν μου ἀνέφερον ὅτι πρόσεστι τῇ κατ' αὐτοὺς ταύτῃ μονῇ ἄνωθεν καὶ ἐκ μακρῶν τῶν χρόνων περὶ τὴν Καλαμαρίαν διὰ παλαιγενῶν ἐγγράφων δικαιωμάτων γῆ γονική, ἡ οὕτω πως ὀνομαζομένη Διαβυλόκαμπος, ἐν ᾗ κέκτηται καὶ σκάλαν, τὴν ἐπιλεγομένην Κόνιζαν, λαμβάνουσα ἐντεῦθεν καὶ τὰ ἀνήκοντα αὐτῇ δίκαια, κέκτηται ὁμοίως καὶ εἰς τὰ Μαριανὰ [1] τὴν ὅλην αὐτὴν χώραν μετὰ πάσης τῆς περιοχῆς αὐτῆς, παροίκων, ἀμπελώνων, περιβόλων,

[1] Ἐν ἄλλοις ἐγγράφοις γράφεται «Ἀμαριανά», ὡς καὶ κατωτέρω.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

ὑδρομύλωνας, μυλοστάσια δώδεκα κρατοῦντα τὸν ἐκεῖσε ποταμὸν μέχρι τῆς τούμβης τῆς μεγίστης τοῦ Ἁγίου Μάμαντος· ὁμοίως καὶ εἰς τὴν Ἑρμήλειαν γῆν γονικήν, ἀλλὰ δὴ καὶ ἐξ ἀγορασίας περιελθοῦσαν αὐτῇ ἀπὸ τοῦ Συρμουρίνου, ὡσαύτως καὶ εἰς τὰς ἀμυγδαλέας ἑτέραν γῆν γονικὴν ἔνθεν τοι καὶ παρεκάλεσαν οἱ δηλωθέντες μοναχοὶ κατὰ τὸ προσὸν τῇ Μονῇ ἄνωθεν δίκαιον ἐπιβραβευθῆναι αὐτῇ χρυσόβουλλον τῆς βασιλείας μου ἐπὶ τῷ προσεῖναι τὰ εἰρημένα ταύτῃ ὡς ἀφιερωμένα διὰ τῶν παλαιγενῶν δικαιωμάτων αὐτῶν.

Τὴν τούτων παράκλησιν εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς, δι᾽ οὗ θεσπίζει, προστάσσει καὶ διορίζεται ὡσὰν κατὰ τὰς περιλήψεις τῶν προσόντων δικαιωμάτων ταύτῃ δὴ τῇ σεβασμίᾳ Μονῇ τοῦ Δοχειαρίου κατέχῃ αὐτὴ καὶ τὰ πρότερον ἄνωθεν καὶ ἐκ μακρῶν τῶν χρόνων κατὰ τὸν ἀναγεγραμμένον τρόπον προσκεκυρωμένα καὶ ἀφιερωμένα αὐτῇ, ἤτοι τὴν γονικὴν γῆν τὴν ἐπιλεγομένην Διαβολόκαμπον καὶ τὴν ἐκεῖσε σκάλαν, τὴν Κόνιζαν, ἀπολαμβάνουσα καὶ τὰ ἐντεῦθεν διαφέροντα δίκαια, ὁμοίως καὶ εἰς τὴν Ἑρμήλειαν γονικὴν γῆν, ἔτι τε καὶ τὴν ἐξ ἀγορασίας περιελθοῦσαν αὐτῇ ἀπὸ τοῦ Συρμουρίνου, ἔτι δὲ καὶ τὴν χώραν τῶν Ἀμαριανῶν μετὰ τῆς προνομεί(α)ς αὐτῆς δικαιωμάτων, ἀμπελώνων, περιβόλων, μύλωνα, γῆν τε χερσαίαν καὶ ἀροτριουντ. ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως μηδενὸς τῶν ἁπάντων, κἂν καί τις ἄρα καὶ εἶ πειραθησομένων ἐπενεγκεῖν αὐτῇ ἐπήρ(ε)ιαν καὶ καταδυναστείαν τινὰ ἢ τὸν τυχόντα διασείσειν. Τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει καὶ νεμηθήσεται τὸ μέρος τῆς τοιαύτης Μονῆς τὰ ἀνωτέρω κατὰ μέρος εἰρημένα, καθὼς κατεῖχε ταῦτα καὶ πρότερον κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ ἐπὶ τούτοις εὐλόγων δικαιωμάτων, ἀρτίως διορίζεται ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου ὁρισμοῦ αὐτῆς ἐπανασωθῆναι ταῦτα τῇ τοιαύτῃ Μονῇ, καὶ κατέχεσθαι παρ᾽ αὐτῆς ὡς καὶ τὸ πρότερον ἐπ(ε)ὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος τῆς βασιλείας μου καὶ ἐπεχορηγήθη, ἐπεβραβεύθη τῇ διαληφθείσῃ σεβασμίᾳ Μονῇ τοῦ Δοχειαρίου ἀπολυθεὶς κατὰ τὴν εἰκοστὴν δευτέραν τοῦ παρόντος

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

Σεπτεμβρίου μηνὸς τῆς ἐνισταμένης ἐνάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑξηκοστοῦ δ΄. ἔτους ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† ***Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος.***

## *8.*

## *Πρατήριον ἔγγραφον τῆς μεγάλης Δομεστικίσσης Ἄννης Καντακουζηνῆς τῆς Παλαιολογίνας.*

*(Αὔγουστος τοῦ ἔτους ͵ϛωπα΄ (=1373) ἰνδ. ια΄.)*

Τὸ ὑπ᾽ ἀριθ. ΙΗ΄. τοῦτο ἔγγραφον γέγραπται ἐπὶ χάρτου διαστάσεων 0,90×0,28. Ἐν πολλοῖς ἐστὶν ἐφθαρμένη ἀτυχῶς ἡ γραφή, ὡς καὶ ἡ ἐν τέλει ὑπογραφή. Τὸ περὶ οὗ πρόκειται κτῆμα ἐν τοῖς Μαριανοῖς ἢ Ἀμαριανοῖς ἐστι διάφορον τοῦ ἐξασφαλισθέντος ἐν τῇ αὐτῇ τοποθεσίᾳ διὰ τοῦ προειρημένου χρυσοβούλλου τοῦ Ἰωάννου τοῦ Παλαιολόγου.

.... πρᾶσιν στέργων και συναινῶν αὐτῇ κατὰ πάντα, προέταξα ἐνταῦθα ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου .... ὁ μέγας Δομέστικος.

***Ἡ μεγάλη Δομεστήκησα Ἄνα Καντακουζηνὴ ἡ Παλαιολογίνα*** †

Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος Ἄννα Καντακουζηνὴ Παλαιολογίνα ἡ μεγάλη Δομεστίκισσα ἡ ἄνωθεν ὡς ὁρᾶται οἰκειοχείροις προτάξασα γράμμασι καὶ κάτω ὁμοίως ὑποτάξαι ὀφείλουσα, τὸ παρὸν τῆς καθαρᾶς καὶ ἁπλῆς καὶ ἀρραδιουργήτου πράσεως τοῦ δηλωθησομένου κτήματος ἐνυπόγραφον ἔγγραφον τίθεμαι καὶ ποιῶ ἑκουσίᾳ βουλῇ καὶ αὐτοπροαιρέτῳ γνώμῃ μετὰ καθολικοῦ Δεφενσίωνος πάσης τε ἄλλης ... καὶ ἐπερωτήσεως πρὸς ὑμᾶς τοὺς ἐν τῇ Σεβασμίᾳ Βασιλικῇ καὶ ἁγιορειτικῇ Μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τῶν Παμμεγίστων Ταξιαρχῶν, καὶ ἐπικεκλημένῃ τοῦ Δοχειαρίου ἐνασκουμένους τιμιωτάτους καὶ ἁγίους πατέρας καὶ δι᾽ ὑμῶν πρὸς ἅπαν τὸ τῆς τοιαύτης Μονῆς πρόσωπόν τε καὶ μέρος, ὡς δηλωθήσεται ἤδη. Τὸ περὶ τὴν Καλα-

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

μαρίαν διακείμενον κτῆμα, τὸ ὀνομαζόμενον Μαριανά, ἣν μὲν ἄνωθεν καὶ ἐκ προγόνων διαφέρον ἐμ(ο)ὶ καὶ εἰς προῖκα δοθὲν καὶ ἀποκληρωθέν, ὥσπερ δὴ τοῖς ἄλλοις μου ἀδελφοῖς ἄλλα ἐκ τῶν γονικῶν ἡμῶν κτημάτων ἀπεκληρώθησαν, πολλοῖς δὲ καὶ διαφόροις κομῶν .... κατείχετο παρ᾽ ἡμῶν, ἕως καὶ πρὶν εἰρήνην ἦγε τὰ πράγματα, καὶ ἡ τῶν Ῥωμαίων ἀρχὴ διετηρεῖτο ἀπὸ θεοῦ ἀνεπηρέαστός τε καὶ ἀστασίαστος· ἀφ᾽ οὗ δὲ παραχωρήσει Θεοῦ, ἡ μὲν ἀρχὴ τῶν Ῥωμαίων εἰς γόνυ .... πολλοῖς χρόνοις οὐκ ἴσχυσεν ἀνανεῦσαι, γέγονε δὲ τὰ πάντα σχεδὸν ὑπὸ τὴν ἀρχὴν καὶ ἐξουσίαν καὶ δυναστείαν τῶν Σέρβων, ὑποκύπτει μὲν καὶ τὸ τοιοῦτον κτῆμα τῇ δυναστείᾳ καὶ τοῖς ἀδίκοις χερσίν . . . . . . . . . . . . ἀφανισμοῦ γίνεται. Ἐπανέρχεται δὲ μόλις μετὰ τῶν ἄλλων καὶ τοῦτο ὑπὸ τὴν τῶν Ῥωμαίων ἀρχὴν καὶ ἀποκαθίσταται πρὸς ἡμᾶς ἡ τούτου δεσποτεία καὶ κυριότης, γυμνή τε καὶ ἔρημος τῶν ἐν αὐτῇ παρακαθημένων ἀνθρώπων καὶ τῶν ἄλλων ἐσόδων ἅσπερ εἶχεν ἐκσυνάγειν καὶ ἧς εἶχε (πρότερον) κυριότητος καὶ δικαίας .... ὠφελῆ (;) ... ἐκ τούτου μὴ δ ...... τὸ ἀρχαῖον ἀποκαταστῆσαι, ἐζητοῦμεν ὅπως ἂν ἀποκαταστήσωμεν αὐτὸ εἴς τι μοναστήριον, δυνάμενον σὺν Θεῷ βοηθῆσαι αὐτῷ, καὶ ἔχῃ τοῦτο τοῦ λοιποῦ κατὰ Δεσποτείαν ἀνθ᾽ ἡμῶν αὐτῶν, καὶ λαβεῖν μὲν καὶ ἀπὸ τοῦ τιμήματος, ὅσον ἂν τάξωμεν καὶ συμβιβασθῶμεν, ἀφεῖναι δὲ καὶ τὸ πλέον ὅσον περ ἐστὶν ἄξιον μνημοσύνου χάριν τῶν ψυχῶν τῶν ἁγίων μου αὐθεντῶν καὶ γονέων μου. Ἐπεὶ δὲ ὁ ἅγιός μου αὐθέντης, ὁ Μέγας Δομέστικος, διάθεσιν καὶ πληροφορίαν πνευματικὴν ἔχων μεθ᾽ ὑμῶν τῶν Δοχειαριτῶν ἐκοινώσατο τὰ περὶ τούτου, καὶ μετὰ πολλοὺς λόγους, τελευταῖον συνεβιβάσθη καὶ ἔταξεν, ἵνα, χάριν τοῦ τοιούτου κτήματος καὶ πάντων τῶν δικαίων αὐτοῦ, δοθῶσι πρὸς ἡμᾶς μόνα ἑξακόσια ὑπέρπυρα, τὸ δὲ πλέον καταλογισθῇ, ὡς εἴρηται, (ὑπὲρ) τῶν ψυχῶν τῶν ἁγίων μου αὐθεντῶν τῶν γονέων μου, καὶ ἡμῶν αὐτῶν, ἰδοὺ περὶ τούτων ἁπάντων ἀναμαθοῦσα, στέρξασά τε καὶ καταδεξαμένη τὴν τοιαύτην συμβίβασιν καὶ κατάστασιν ὡς κατ᾽ ἀμφότερα λυσιτελοῦσαν, τῷ τε βίῳ δηλαδὴ καὶ ταῖς ἡμετέραις ψυχαῖς, καὶ διὰ τοῦτο ἑκουσιοθελῶς ἀποταξαμένη πάσῃ νομικῇ βοηθείᾳ, πιπράσκω καὶ σωματικῶς ὑμῖν παραδίδωμι τὸ δια-

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

ληφθὲν κτῆμα τῶν Μαριανῶν μεθ᾿ ἧς ἔχει πάσης γῆς, τῶν ἐν αὐτῇ παντοίων δένδρων, τῶν ἀγριαμπέλων, τῶν συνισταμένων ὑδρομυλώνων, τῶν μυλοτοπίων, τοῦ ἐπὶ τῷ ὕδατι δικαίου, τῶν παροίκων τε καὶ προσκαθημένων, καὶ ὧν ἄνωθεν καὶ ἐξ ἀρχῆς εἶχε παλαιῶν καὶ νέων προνομίων, δικαιωμάτων τε καὶ ἑτέρων παντοίων συνηθειῶν, τῆς νομῆς τε τῶν ζῴων, καὶ ἁπλῶς εἰπεῖν πάντων τῶν προσόντων ἡμῖν δικαίων, μηδὲ βῆμα ποδὸς ἐμαυτῇ ἤ τινι τῶν τοῦ μέρους μου ἐξ αὐτοῦ παρυποκρατήσασα ἀλλὰ πάντων τὴν δεσποτείαν καὶ κυριότητα παραδοῦσα πρὸς ὑμᾶς, καὶ ἔλαβον ἀφ᾿ ὑμῶν τὰ εἰρημένα ἑξακόσια ὑπέρπυρα, διὰ Βενετικῶν Δουκάτων πραττομένων καὶ ἀψόγων, ἱστώντων οὐγγίας ἑξακοσίας. Ἐπεὶ δὲ ἐντὸς τοῦ τοιούτου κτήματος ἦν μύλων παροικικός, οὗτινος ἡ δεσποτεία διέφερεν ἡμῖν, πρὸ ὀλίγου δέ, ἐλθόντες οἱ Βατοπεδινοί, ἠξίωσαν καὶ παρεκάλεσαν τὸν ἅγιόν μου αὐθέντην τὸν μέγαν Δομέστικον, καὶ ἐγένετο πρὸς αὐτοὺς γράμμα, βεβαιοῦν αὐτοῖς τὴν τοῦ μύλωνος δεσποτείαν, λέγω περὶ τούτου ἐγὼ ἡ ἀληθὴς κυρία τοῦ πράγματος ὡς εἰ μὲν στέρξουσιν οἱ Βατοπεδινοὶ τὴν παροῦσαν πρᾶξιν καὶ κατάστασιν, ἣν ἀρτίως ἐγὼ ποιοῦμαι πρὸς τοὺς Δοχειαρίτας, καὶ διατηρήσουσιν αὐτοὺς ἀνενοχλήτους καὶ ἀδιασείστους περί τε πλησιασμοῦ καὶ ἑτέρου παντός, ὧν ἂν ἔχει· τοῦτο γὰρ ἡμῖν ἡ σπουδὴ καὶ ἅπαν τὸ ζητούμενον, ἵνα ἔχῃ ἡ μονὴ τοῦ Δοχειαρίου τὸ διαπιπρασκόμενον πρὸς αὐτὴν παρ᾿ ἡμῶν κτῆμα ὃν εἴρηται τρόπον· εἰ δὲ πειραθῶσιν ἐπηρεάσαι αὐτοὺς καὶ ἀνακαλεῖσθαι πλησιασμόν, ἤ τι ἕτερον ἐξ αὐτῶν, ἵνα καὶ ἡ πρὸς αὐτοὺς δὴ τοὺς Βατοπεδινοὺς γενομένη πρᾶξις τοῦ μύλωνος ἀκυρωθῇ καὶ λάβωσι καὶ τὴν τούτου δεσποτείαν οἱ Δοχειαρῖται τὸ ἡμέτερον ἔχοντες δίκαιον, καὶ δώσωσι πρὸς αὐτοὺς ὅσον ὑπὲρ τοῦ τοιούτου μύλωνος κατεβάλοντο, εἰ γὰρ καὶ ὑπέγραψα ἐν τῷ γράμματι, ἀλλὰ ἀπατηθεῖσα καὶ συναρπαγεῖσα τοῦτο ἐποίησα, οὐ διδαχθεῖσα παρά τινος οὐδὲ ἀναμαθοῦσα ὥσπερ νῦν ἐδιδάχθην περὶ τῆς πράσεως, ἣν ἑκουσιοθελῶς ἀρτίως ποιοῦσα καὶ μετὰ τῆς προσηκούσης διδαχῆς, ἄνω καὶ κάτω ταύτην ἐσημειωσάμην οἰκειοχείρως, συναινούντων μοι ἐπὶ τῇ τοιαύτῃ πράξει καὶ συνευδοκούντων καὶ συμπραττόντων τοῦ τε ἁγίου μου αὐθέντου μεγάλου Δομεστίκου καὶ τῶν γνησίων παίδων

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

καὶ περιποθήτων ἡμῖν, τοῦ τε μεγάλου Πριμικηρίου κυρίου Ἰωάννου τοῦ Παλαιολόγου καὶ τῆς Καντακουζηνῆς κυρίας Εὐδοκίας, ὥστε δὲ διὰ πάντων τὸ ἀσφαλὲς εἶναι καὶ βέβαιον.... καὶ τοῦ πανιερωτάτου [1] Μητροπολίτου Θεσσαλονίκης ὑπερτίμου καὶ ἐξάρχου πάσης Θετταλίας κυρίου Δωροθέου, τὴν τοιαύτην ἐξεθέμην διάπρασιν πρὸς ὑμᾶς καὶ τὴν καθ᾽ ἡμᾶς Μονήν, ἥτις καὶ ὀφείλει κατέχειν τὸ διαληφθὲν κτῆμα μετὰ τῶν ἀνωτέρω κατὰ μέρος διειλημμένων δικαίων καὶ προνομίων αὐτοῦ, κατὰ τελείαν δεσποτείαν καὶ ἀναφαίρετον κυριότητα ἔχουσα ἐξουσίαν πωλεῖν αὐτό, δωρεῖσθαι, ἀνταλλάττειν, προικοδοτεῖν καὶ τἄλλα πάντα ποιεῖν ὅσα τε αὐτῇ ἐστὶ βουλητὰ καὶ ὅσα ἐκ τῶν θείων καὶ φιλευσεβῶν νόμων ἐφεῖται αὐτῇ ὡς τελείᾳ καὶ ἀναμφιλέκτῳ αὐτῇ Δεσπότιδι, ἐμοῦ τῆς διαπιπρασκούσης μεταμέλεσθαι ἀπ᾽ ἄρτι ὅλως μὴ ἰσχυούσης ἐπὶ τῇ παρούσῃ καθαρᾷ καὶ ἀπεριέργῳ διαπράσει, ἀλλ᾽ ὀφειλούσης μᾶλλον στοιχεῖν διόλου πάσῃ τῇ περιλήψει αὐτῆς καὶ τῶν καθολικῶν [2] αὐτῇ ποιεῖν δεφενσίωνα καὶ διατηρεῖν αὐτὴν ἀζήμιον καὶ ἀνενόχλητον ἀπὸ παντὸς τοῦ ἴσως εἰς ἐκνίκησιν τούτου χωρήσοντος.... αὐτοῦ τῇ Μονῇ ἐνοχλήσοντος καὶ πάσης ἄλλης ἀναφυησομένης ἀγωγῆς καὶ ζητήσεως· ὅθεν καὶ ἀποτασσομένη ἑκουσιοθελῶς σὺν τῷ μεταμέλῳ, τῇ πλάνῃ, τῇ βίᾳ, τῇ ἀνάγκῃ, τῇ συναρπαγῇ καὶ ἀπάτῃ, τῇ περιγραφῇ καὶ παραγραφῇ, τῇ ἐγγράφῳ καὶ ἀγράφῳ ὑποσχέσει, τῇ τοῦ νόμου καὶ φάκτου ἀγνοίᾳ, τῇ χλεύῃ, τῷ δελεασμῷ, τῇ ἰδιωτίδι, καὶ ἀγροικίᾳ, τῇ ῥᾳδιουργίᾳ, τῷ ὑπερθεματισμῷ... καὶ ὑπερδιπλασιασμῷ τοῦ τιμήματος.... τῇ ἀνδρώδει ὑπεξουσιότητι καὶ τῷ βελλιδυνείῳ δόγματι καὶ πάσῃ καὶ παντὸς [3] δικαιολογίᾳ τε καὶ προφάσει, ὑπερωτῶμαι τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ καὶ παντὶ τῷ μέρει αὐτῆς, ὡς ἐὰν ἀπὸ τῆς ἄρτι, εἴτε ὡς ἐκ μεταμέλου τυχόν, εἴτε καὶ ἀπὸ ἄλλης τινὸς νομικῆς ἰσχύος καὶ βοηθείας, πειραθῶ ἀνατρέψαι τὸ παρὸν πρατήριον ἔγγραφον καὶ οὐ·μᾶλλον

---

[1] Κατὰ τὴν ἐποχὴν ταύτην Πανιερώτατος ἐλέγετο ὁ Μητροπολίτης Θεσσαλονίκης καὶ οὐχὶ Παναγιώτατος, ὡς ἐκ τοῦ ἐγγράφου τούτου δηλοῦται.

[2] Ἀντὶ τῆς γενικῆς πληθυντικῆς ἔδει γραφῆναι αἰτιατικὴν ἑνικήν, ὡς καὶ κατωτέρω γράφεται.

[3] Ἴσως παντοίᾳ δικαιολογίᾳ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

ποιῶ τῇ εἰρημένῃ Σεβασμίᾳ Μονῇ καὶ τῷ μέρει αὐτῆς καὶ τὸν καθολικὸν δεφενσίωνα νομίμως καὶ διατηρῶ .... ἀζήμιον ..... τοῦ ἴσως εἰς ἐκνίκησιν τούτου χωρήσοντος καὶ πάσης ἄλλης ἀναφυησομένης αὐτῇ παρ᾽ αὐτοῦ κατά τε ἀγωγῆς καὶ ζητήσεως, οὐ μόνον ἵνα μὴ εἰσακούωμαι ἐφ᾽ οἷς ἂν ἴσως ἔχω λέγειν, ἀλλὰ σὺν τῇ διπλασίωνι ἀντιστροφῇ τοῦ τιμήματος τῇ δόσει τε τῶν ἐπὶ βελτιώσει καὶ συστάσει τοῦ τοιούτου κτήματος καταβληθησομένων ἁπασῶν ἐξόδων, ζημιῶμαι καὶ χάριν προστίμου πρὸς αὐτήν ....... καὶ αὖ.... ἐρρῶσθαι τὸ παρὸν πρατήριον ἐνυπόγραφον ἔγγραφον ἰσχύειν ὀφεῖλον καὶ ὡς πρακτικὸν σωματικῆς καὶ τοπικῆς παραδόσεως, ὅπερ καὶ ἐγράφη διὰ χειρὸς Ἰωάννου κληρ.... τοῦ Σγουροπούλου, ἐκ προτροπῆς τοῦ οἰκείου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ Βασιλεῖ Πρωτονοταρίου κυρίου ν.... τοῦ Σωτηριώτου μηνὶ Αὐγούστῳ ἰνδικτίωνος ια΄. ἔτους ͵ϛωπα ου [1]

Ἐπὶ τοῦ ὄπισθεν μέρους τοῦ ἐγγράφου τούτου εἰσὶ γεγραμμένα τὰ ἑξῆς:

Ἐπειδὴ ἐν τῷ ἐμπεριειλημμένῳ κτήματι τῶν Ἀμαριανῶν, ὅπερ διεπράθη πρὸς τὴν σεβασμίαν μονὴν τοῦ Δοχειαρίου ἔχει καὶ ἡ σεβασμία μονὴ τοῦ Βατοπεδίου ὑδρομύλωνα δωρηθέντα αὐτῇ πρὸ ὀλίγου παρὰ τοῦ μεγάλου Δομεστίκου, δι᾽ ὃν δὴ μύλωνα εἶχε λογισμὸν ἡ μονὴ τοῦ Δοχειαρίου μήποτε εὕρῃ ὄχλησιν παρὰ τοῦ Βατοπεδίου, καὶ διὰ τοῦτο ἐδηλώθη παρ᾽ αὐτῆς δὴ τῆς μονῆς τοῦ Βατοπεδίου διὰ γραφῆς μετὰ τὰ ἄλλα, ὅτι ἐπεὶ οὖν οὐκ ἔχομεν δίκαιον οὐδὲ ἐπὶ τῷ τυχόντι πολλῷ μᾶλλον ἐπὶ τοιούτῳ ἄρχοντι καὶ εὐγενεῖ, γράφομεν τῇ ἀντιλήψει σου ὅτι καλὸν μὲν ἦν νὰ ἠδυνάμεθα καὶ νὰ ἠγοράζαμεν τὸ τοιοῦτον ἀξιόλογον κτῆμα..... ἰδοὺ παρέχομεν ἑκουσίως καὶ μετὰ χαρᾶς μεγάλης τὴν καταδοχὴν καὶ συναίνεσιν ἡμῶν ἵνα πραθῇ παρὰ τῆς ἀντιλήψεώς σου, ἔνθα ἐστὶ αὐτῇ βουλητὸν καὶ ὅπως μὴ ἐχόντων τινῶν τοῦ μέρους ἡμῶν ἄδειαν ἐνοχλῆσαι ἢ διασεῖσαί τινί ποτε περὶ τούτου τῇ ἐμφα-

[1] Ἐν τῷ κτήματι τούτῳ ἡ Μονὴ ἀνήγειρε πύργον σῳζόμενον μέχρι τοῦ νῦν καὶ ἔχοντα τὴν ἐπιγραφὴν ΑΡ|Χ. / Μ|Δ. ἤτοι μονὴ Δοχειαρίου. Βραδύτερον ἡρπάγη ὑπὸ Τούρκων, ὑπὸ τῶν διαδόχων τῶν ὁποίων καὶ κατέχεται.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

νείᾳ τοῦ παρόντος ἡμῖν γράμματος μηνὶ Αὐγούστῳ ἰνδικτιῶνος ἑνδεκάτης ἐπεὶ τοίνυν οὕτω διελάμβανεν ἡ γραφή.

Εἶχε δὲ ἐν τῷ τέλει καὶ ὑπογραφὰς...... Ἰωσὴφ τοῦ δικαίων κυρίου Γεροντίου, τοῦ Σκευοφύλακος κυρίου Ἰσαάκ, τῶν Ἱερομομάχων, καὶ τοῦ κυρίου Κασσιανοῦ· ἐνεφανίσθη δὲ τῇ ἡμῶν μετριότητι αὐτή τε ἡ γραφὴ καὶ ἡ ἐμπεριειλημμένη πρᾶσις καὶ ἐδεήθησαν ἀμφότερα τὰ μέρη, ἤγουν...... καὶ τῆς Μονῆς τοῦ Δοχειαρίου καὶ ἐπὶ γραφῆς τῆς ἡμῶν Μετριότητος εἰς ἐπιστηριγμὸν καὶ ἀσφάλειαν τῶν γεγραμμένων. Ἡ Μετριότης ἡμῶν τῇ τούτων ὑπείξασα ἀξιώσει, ἀνεγράφη εἰς βεβαίωσιν μὲν τῶν ἐμπεριειλημμένων ἁπάντων, ἀνενοχλησίαν δὲ καὶ ἀσφάλειαν τῆς τοῦ Δοχειαρίου μονῆς μηνὶ Αὐγούστῳ ἰνδικτιῶνος ἑνδεκάτης. ***Ταπεινὸς Μητροπολίτης Θεσσαλονίκης (Δωρόθεος) ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθεντὸς καὶ Βασιλέως Λάσκαρις Μετοχίτης μαρτυρῶν ὑπέγραψα ὁ μέγας χαρτουλάριος.***

## *9*

## ***Βασιλικὸν πρόσταγμα ἀνυπόγραφον καὶ ἀχρονολόγητον περὶ κατοχῆς τοῦ κτήματος, τοῦ ὀνομαζομένου τὰ Ἀμαριανά, ὑπὸ τῆς Μονῆς τοῦ Δοχειαρίου καὶ οὐχὶ τῆς τοῦ Ἀκαπνίου.***

*(Ἔτους ἀδήλου, μηνὸς Φεβρουαρίου (;) ἰνδ. γ΄.)*

Τὸ κατωτέρω ὑπ' ἀριθ. ΚΖ΄. πρόσταγμα γραφὲν ἐπὶ χάρτου διαστάσεων 0,30×0,30, καὶ ἀναφέρον, ὅτι καὶ ὁ Οἰκουμενικὸς Πατριάρχης «συνδιασκεψάμενος συνοδικῶς διέγνω καὶ ἀπεφήνατο κατέχεσθαι τὸ ἐν αὐτῷ ἀναφερόμενον κτῆμα παρὰ τῆς Μονῆς τοῦ Δοχειαρίου», ἀπελύθη ὑπὸ Ἰωάννου Ε΄. τοῦ Παλαιολόγου, διότι ὁ Πατριάρχης Φιλόθεος κατὰ τὴν δευτέραν αὐτοῦ πατριαρχείαν (1364—1376) ἐποιήσατο τὴν εἰρημένην διάγνωσιν κατὰ μῆνα Ἰανουάριον ἰνδικτιῶνα ΙΓ΄. τοῦ ἔτους 1375, ἐπειδὴ τῷ 1373 ἐπράθη αὐτὸ καὶ μετὰ δύο ἔτη «διεγερθέντες οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τοῦ Ἀκαπνίου, δι' ὄχλου ἐγένοντο αὐτοῖς (τοῖς Δοχειαρίταις) ἀπαιτοῦντες τὸ εἰρημένον κτῆμα καὶ προβαλλόμενοι πλησιασμοῦ ἔχειν ἐπ' αὐτῷ δίκαιον.»

† Ἐπεὶ ἀνηνέχθη τῇ βασιλείᾳ μου ὡς ὁ περιπόθητος θεῖος αὐτοῦ μέγας Δομέστικος κύριος Δημήτριος ὁ Παλαιολόγος βουλη-



Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

θεὶς ἐκποιήσασθαι τὸ κτῆμα αὐτοῦ τὸ καλούμενον Ἀμαριανά, καὶ εἰπὼν τοῦτο καὶ προσαναφωνησάμενος πρὸς πάντας τοὺς ἐπ᾽ αὐτῷ πλησιασμοῦ δίκαιον ἔχοντας, οὐδεὶς προῃρέθη ἐξωνήσασθαι τοῦ τοιούτου κτήματος αὐτοῦ ποσουμένου εἰς δισχίλια ὑπέρπυρα καὶ ἐπέκεινα, καὶ δέδωκεν αὐτὸ κατὰ λόγον προσενέξεως καὶ προσκυρώσεως πρὸς τὴν σεβασμίαν Μονὴν τοῦ Δοχειαρίου, καὶ ἔλαβε μὲν ἐξ αὐτῆς ὑπέρπυρα μόνα ἑξακόσια, τὰ δὲ πλείονα ἀφῆκε τοῖς μοναχοῖς τῆς αὐτῆς μονῆς ψυχικῆς ἕνεκεν σωτηρίας αὐτοῦ, ὃ δὴ κτῆμα καὶ παραλαβόντες οἱ τοῦ Δοχειαρίου μοναχοί, ἐπὶ τὸ κρεῖττον αὐτὸ κατεσκεύασαν, πύργον τε ἐν αὐτῷ ἀνακτίσαντες καὶ ἄλλα ὅσα πρὸς ἀσφάλειαν ἐφορῶσιν αὐτοῦ κατὰ τὴν αὐτῶν δύναμιν σπουδάσαντες καὶ ποιήσαντες κατέχουσιν αὐτὸ ἤδη χρόνους δύο, ἀρτίως δὲ διεγερθέντες οἱ μοναχοὶ τῆς σεβασμίας Μονῆς τοῦ Ἀκαπνίου, δι᾽ ὄχλου ἐγένοντο αὐτοῖς, ἀπαιτοῦντες τὸ εἰρημένον κτῆμα, καὶ προβαλλόμενοι πλησιασμοῦ ἔχειν ἐπ᾽ αὐτῷ δίκαιον, παρεπέμφθη δὲ ἤδη ἡ περὶ τούτου ψῆφός τε καὶ διάγνωσις πρὸς τὸν παναγιώτατόν μου Δεσπότην τὸν Οἰκουμενικὸν Πατριάρχην, ὃς δὴ καὶ συνδιασκεψάμενος τὰ περὶ τούτου συνοδικῶς διέγνω καὶ ἀπεφήνατο κατέχεσθαι τὸ κτῆμα παρὰ τῶν τῆς μονῆς τοῦ Δοχειαρίου μοναχῶν, πρὸς οὓς καὶ παρέδωκεν αὐτὸ ὁ δηλωθεὶς περιπόθητος θεῖος τῆς βασιλείας μου μέγας Δομέστικος ὁ Παλαιολόγος κατὰ τὸν ἀνωτέρω δηλωθέντα τρόπον, καὶ ἐγεγόνει καὶ τιμία γραφὴ αὐτοῦ, ᾗτινι τὰ τῆς ὑποθέσεως κατὰ μέρος ὡς ἐγένετο καὶ τὴν ἀρχὴν ἔχειν ἐμπεριείληπται, ἐδέησε δὲ ἀπολυθῆναι καὶ πρόσταγμα τῆς βασιλείας μου ἀσφαλείας ἕνεκα τῆς ἐντεῦθεν, ἡ βασιλεία μου τὸ παρὸν ἀπολύουσα πρόσταγμα, ἔχει θέλημα καὶ διορίζεται, ὡς εἴπερ ἔχοι τὸ πρᾶγμα οὕτως, κατέχωσιν οἱ μοναχοὶ τῆς τοῦ Δοχειαρίου σεβασμίας μονῆς τὸ διαληφθὲν κτῆμα τὰ Ἀμαριανά, καθὼς ἐξεδόθη καὶ παρεδόθη αὐτοῖς παρὰ τοῦ μεγάλου Δομεστίκου τοῦ Παλαιολόγου, καὶ νέμονται αὐτὸ ἀνενοχλήτως καὶ ἀδιασείστως, μήτε παρὰ τῶν μοναχῶν τῆς τοῦ Ἀκαπνίου σεβασμίας Μονῆς μήτε μὴν παρ᾽ ἑτέρου τινὸς τῶν ἁπάντων . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . . . . . . .

διαληφθείσης τιμίας πατριαρχικῆς ἐγγράφου διαγνώσεως καὶ ὡς

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

δικαιοῦνται εὐλόγως ἐπ᾽ αὐτῷ. Ἐπειδὴ τούτου χάριν ἐγένετο αὐτοῖς καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα.

Μηνὶ Φεβρουαρίῳ (;) ἰνδικτιῶνος Γ΄. [1]

## *10*

## *Χρυσόβουλλος λόγος Μανουὴλ Β΄. τοῦ Παλαιολόγου περὶ τῶν Ἀμαριανῶν καὶ τῆς Ἑρμηλείας.*

*(Ἔτους 6923 (=1415) ἀδήλου μηνὸς καὶ ἰνδικτιῶνος).*

Τὸ ὑπ᾽ ἀριθ. ΙΘ΄. χρυσόβουλλον τοῦτο γραφὲν ἐπὶ χάρτου διαστάσεων 0,34×0,29 ½ καὶ ἔχον δυσανάγνωστον ὑπογραφήν, ἐπαλείψασαν καὶ τέσσαρας ἢ πέντε λέξεις, ἃς καὶ κατέστησε δυσαναγνώστους, ἀπελύθη ἀναντιρρήτως ὑπὸ Μανουὴλ Β΄. τοῦ Παλαιολόγου, ὡς ἐξάγεται ἔκ τε τοῦ περιεχομένου αὐτοῦ καὶ τῆς χρονολογίας.

† Οἱ ἐνασκούμενοι τῇ σεβασμίᾳ μονῇ τοῦ Δοχειαρίου παραγενόμενοι πρὸς τὴν βασιλείαν μου ἐν τῇ περιφανεῖ πόλει Θεσσαλονίκῃ ἐνεφάνισαν πρόσταγμα γεγονὸς παρὰ τῆς βασιλείας μου πρὸ χρόνων ἓξ κατὰ τὸν Ἰανουάριον τῆς β΄. ἰνδίκτου, ὃ δὴ πρόσταγμα, εἶχεν ἐπὶ λέξεως οὕτως· οἱ ἐνασκούμενοι τῇ Μονῇ Δοχειαρίου ἀνέφεραν τῇ βασιλείᾳ μου ὅπως εἶχον τὰ Μαριανὰ ἐξωνησάμενοι αὐτὰ ἀπὸ τῆς μεγάλης Δομεστικίσσης Παλαιολογίνας ἐκείνης ὡς διαλαμβάνει τὸ περὶ τούτου παρ᾽ αὐτῆς γενόμενον γράμμα, ὅπερ καὶ ἐνεφανίσθη παρ᾽ αὐτῶν τῇ βασιλείᾳ μου, ἐνεφάνισαν δὲ οἱ αὐτοὶ καὶ πρόσταγμα τῆς βασιλείας μου, ὅπερ ἐπορίσαντο παρ᾽ αὐτῆς ἐπὶ τῇ κατοχῇ τῶν τοιούτων Ἀμαριανῶν καὶ ταῦτα ἐμφανίσαντες δικαιώματα ἀνέφερον ὅπως κατέχοντες τὸ εἰρημένον χωρίον τὰ Ἀμαριανὰ ὑπὸ τοῦ καιροῦ καὶ τῆς τῶν πραγμάτων ἀνωμαλίας ἀφῃρέθησαν αὐτὰ καὶ παρεκάλεσαν ἵνα ἀναδυνηθῶσι καὶ πάλιν ἔχωσιν αὐτά. Ἡ βασιλεία μου γοῦν εὐμενῶς προσδεξαμένη τὴν αὐτῶν παράκλησιν ἔχει θέλημα καὶ διορίζεται διὰ (τοῦ) παρόντος αὐτῆς προστάγματος, ἵνα ἡ εἰρημένη μονὴ τοῦ

[1] Εἶναι γνήσιον ἆρα γε; Ἀλλ᾽ ἂν ᾖ γνήσιον, διατί δὲν φέρει ὑπογραφὴν καὶ χρονολογίαν;

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

Δοχειαρίου ἔχῃ καὶ πάλιν ὥσπερ καὶ πρὶν ὅλον τὸ χωρίον τὰ εἰρημένα Ἀμαριανά· ἔχει ὁ λόγος οὕτως: οὐκ ἔστι περὶ τοῦ τέλους, ὃ ἔδιδον εἰς τοὺς Τούρκους ὀνομαζόμενον παρ᾽ ἐκείνοις χαράτζιν, ἀλλὰ διὰ τὴν παροικικὴν κτῆσιν, ὥσπερ εἶχον αὐτὴν καὶ πρὸ τῆς ἡμέρας τῶν Τούρκων. Τοῦτο μὲν οὖν διοριζόμεθα περὶ τῶν Ἀμαριανῶν. Τῆς δὲ Ἑρμηλείας ἵνα ἔχωσι τὸ ἥμισυ μέρος, τὸ δὲ ἥμισυ ἵνα ἔνι τοῦ δημοσίου, ὡς καὶ τὰ ἄλλα κτήματα τῶν Μοναστηρίων. Τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου, ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννεακοσιοστῷ ἑπτακαιδεκάτῳ.

Οὕτω μὲν διαλαμβάνει τὸ εἰρημένον πρόσταγμα τῆς βασιλείας μου, ἐπεὶ δὲ ἦν ἔν τισι μέρεσι διερρωγὸς καὶ διαβεβρωμένον ὡς μόλις ἀναγινώσκεσθαι, παρεκάλεσαν οἱ εἰρημένοι μοναχοὶ ἵνα πορίσωνται ἕτερον ἀντ᾽ ἐκείνου ἴσον· ὅθεν καὶ κατὰ τὴν αὐτῶν παράκλησιν προσδεχθεῖσαν τὸ παρὸν ἴσον ἡ βασιλεία μου αὐτοῖς ἀπέλυσεν, ἵνα ἔχωσιν αὐτὸ εἰς τὰ ἑξῆς ...... γεγονὸς ἐν ἔτει ἑξακισχιλιοστῷ ἐνναχοσιοστῷ εἰκοστῷ τρίτῳ.

## *11*

***Χρυσόβουλλος λόγος, δι᾽ οὗ ἐξασφαλίζονται εἰς τὸν πανσέβαστον σεβαστὸν Δημήτριον τὸν Μουρῖνον τὸ ἐν Παφλαγονίᾳ χωρίον τοῦ Γογγύλη, τὸ περὶ τὸ θέμα Ὀπτιμάτων χωρίον Δέρκον, τὰ περὶ τὴν Θεσσαλονίκην χωρία ἡ Ἑρμήλεια, τοῦ Κραββατᾶ καὶ ἡ Ἀντιγόνεια, ὁ περὶ τὴν Σθλάνιτζαν τόπος μετὰ τῶν πλανητῶν καὶ νομῶν αὐτοῦ καὶ τὸ ἐν τῇ νήσῳ Κασσανδρείᾳ χειμάδιον μετὰ τοῦ ἐν αὐτῷ Παλαιοχωρίου.***

*(Ἀδήλου βασιλέως, μηνός, ἔτους καὶ ἰνδικτιῶνος).*

Τὸ ὑπὸ στοιχεῖον Κ΄. χρυσόβουλλον τοῦτο γραφὲν ἐπὶ χάρτου διαστάσεων 0,42×0,31 καὶ ὀλίγον ἐφθαρμένον ὂν ἀγνοοῦμεν ὑπὸ τίνος βασιλέως ἀπελύθη, ἐπειδὴ καὶ ἡ ὑπογραφὴ καὶ ἡ χρονολογία κατέστησαν ἐξίτηλοι, καὶ ἑπτὰ σειραὶ ἐν τέλει καὶ ἀλλαχοῦ, ἔνθα τὰ ἀποσιωπητικά. Τὸ χρυσόβουλλον τοῦτο παρεδόθη τῇ μονῇ, ὅτε παρεδόθη αὐτῇ καὶ τὸ ἐν Κασσανδρείᾳ χειμάδιον μετὰ τοῦ Παλαιοχωρίου, καὶ τοῦ ἐν Ἑρμηλείᾳ χωρίου τοῦ Μουρίνου. Ὁ χρυσόβουλλος οὗτος λόγος φαίνεταί μοι χασματώδης καὶ δυσνόητος ἐν ἀρχῇ, ἀλλ᾽ ἐγὼ οὕτως εὗρον καὶ ἀντέγραψα αὐτὸν ἐκ τοῦ πρωτοτύπου. Ἐν τῷ ἀρχείῳ τῆς Μονῆς ὑπάρχει καὶ τὸ ὑπὸ στοιχεῖον ΚΑ΄. χρυσόβουλλον,

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

γραφὲν ἐπὶ χάρτου διαστάσεων 0,44×0,28, ἀλλὰ λίαν ἐφθαρμένον, καὶ ἀντίγραφον τούτου χαρτῷον διαστάσεων 0,29×0,30 ἐπίσης ἐφθαρμένον, ὥστε μὴ ἀναγινώσκεσθαι τὴν ὑπογραφὴν καὶ τὴν χρονολογίαν. Τὸ περιεχόμενον ἀναφέρεται εἰς τὴν κατοχὴν καὶ νομὴν ὅλων γενικῶς τῶν κτημάτων τῆς Μονῆς ὁθενδήποτε καὶ ὁπωσδήποτε προελθόντων αὐτῇ, ἄνευ ὅμως καὶ τῶν ὀνομάτων καὶ τοποθεσιῶν αὐτῶν. Ὁ χρυσόβουλλος οὗτος λόγος φαίνεταί μοι χασματώδης καὶ δυσνόητος ἐν ἀρχῇ, ἀλλ᾿ ἐγὼ οὕτως εὗρον καὶ ἀντέγραψα αὐτὸν ἐκ τοῦ πρωτοτύπου, μὴ πειραθεὶς διορθώσεις καὶ συμπληρώσεις.

† Οὐδὲν ἄρα οὕτω βασιλέως οἶδε ψυχὴν εἰς εὐποιίαν διανιστᾶν καὶ πρὸς φιλοτίμους παρακαλεῖν δωρεὰς ὡς ἡ πρὸς αὐτὸν τοὺς αἰτοῦντας ἀσφαλεστάτη γνώμη καὶ εὐθυτάτη προαίρεσις. Πέφυκε γὰρ καὶ ἄλλως ὁ τὸ τῆς αὐτῆς ἀρχῆς ἀποσώζειν καὶ τοῖς πράγμασιν αἱρούμενος ὄνομα, ἐξ ἑαυτοῦ καὶ ὀφείλει (;) ἀφ᾿ ἑστίας πρὸς τὸ εὐεργετεῖν διανίστασθαι σκοπούμενος ὡς ἐξὸν ἐκμιμίσασθαι τὸν τούτῳ διέπειν τὴν τοῦ κράτους ἀρχὴν ἐπιτρέψαντα· ὁπόταν δὲ καὶ ὁ τὰ τῆς δεήσεως προβαλλόμενος ἐκ πολλῶν μὲν καὶ ἄλλων τὸ τῆς ἱκετίας προτείνεται εὔλογον, πλέον δὲ κἀκ τῆς ἧς καθ᾿ ἑκάστην ἐκτρέφει πρὸς τὸν βασιλέα καρδιακῆς σχέσεως, ὁρμᾷ νικᾶν αὐτὸς ἑαυτὸν καὶ φιλοτιμότερος τῆς οἰκείας ἀναφαίνεσθαι ....... τὸ δίκαιον αὐτὸ ὅ τὸ τῆς παρακλήσεως ἐμφαίνει εὔλογον δυσωπούμενος· ὅτι δὲ καὶ ἡ βασιλεία μου τοῦ ταύτην θεοῦ τῇ χάριτι βασιλεύσαντος καὶ πρὸς ἅπαν μὲν τὸ ὑπήκοον προνοεῖται συχνὴν τὴν προμήθειαν ξύμπαντα ὡς οἷον ἐθέλουσα εὐποιεῖν καὶ πρὸς τὴν ἑκάστου εὔνοιαν ἀντιμετρεῖν τὴν ἀντάμειψιν οἱ πειραθέντες λεγέτωσαν, πλὴν καὶ τῷ δικαίῳ νέμειν οἶδε συχνὴν τὴν ῥοπὴν καὶ τὸν πλάστην προτεινόμενον εὔνοιαν δαψιλεστέρᾳ τῇ εὐμενείᾳ σπουδάζει κρατεῖν καὶ πίστεις τῶν εἰρημένων ἄλλοι τε πολλοί, οἷς ἡ τῆς ψυχῆς εἰλικρίνεια καὶ τὸ τοῦ τρόπου ἀρέμβαστον τὴν ἔγγιστα χώραν τοῦ τῆς βασιλείας ὕψους ἀπένειμε, πρὸς τοῖς ἄλλοις δὲ καὶ ὁ τῆς παρούσης ὑποθέσεως αἴτιος, ὁ πανσέβαστος σεβαστὸς οἰκεῖος τῇ βασιλείᾳ μου πρωτοβεστιαρίτης κύριος Δημήτριος ὁ Μουρῖνος, ἀνὴρ γὰρ οὗτος ἔκ τε τοῦ ζήλου, ὃν ἐν ταῖς ἐγκεχειρημέναις αὐτῷ διαφόροις παρὰ τῆς βασιλείας μου πολιτικαῖς ἀρχαῖς ἐν-

3. τὸν αἰτοῦντα 7. τούτῳ 12. Λέξις δυσανάγνωστος.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

εδείξατο, κἀκ τῆς καθ᾽ ἑκάστην ἐπιδιδούσης αὐτῷ εὐνοίας καὶ διαθέσεως ἁπανταχοῦ παριστῶν τὸ πρὸς τὴν βασιλείαν μου εὔνουν εἰλικρινέστατον, ὡς καὶ μηδὲν ἕτερον λογίζεσθαί τε καὶ πράττειν ἀποσκοπούμενος ὅτι μὴ ὅ τῇ βασιλείᾳ μου ὑπηρετοῦν καὶ θεραπεῦον καθέστηκε, τὰ μὲν εἰς ἑαυτὸν δευτέρου καὶ τοῦ τυχόντος λόγου τιθέμενος, ὅσα δὲ πρὸς τὴν τῆς ἀρχῆς ἀνατρέχειν οἶδε περιωπὴν ἐξιχνιάζων ταῦτα καὶ πρὸς τὴν τούτων συντήρησιν καὶ τὴν ψυχὴν αὐτὴν προϊέμενος. Τοίνυν καὶ διὰ ταῦτα τῆς εὐγνωμοσύνης καὶ τῆς τῶν τρόπων εὐθύτητος ἀνταμειβομένη τοῦτον ἡ βασιλεία μου καὶ ἐν ἄλλῳ τὰ τῆς αἰτήσεως αὐτῷ κατὰ γνώμην προήνεγκεν, οὐχ᾽ ἧττον δὲ καὶ εἰς ἣν ἀρτίως προὔτεινεν αἴτησιν εὗρον ἐκ τοῦ σχεδὸν ἐφεπομένην καὶ τὴν τελείωσιν. Ἐπεὶ τοίνυν ὁ τοιοῦτος πανσέβαστος σεβαστὸς οἰκεῖος τῇ βασιλείᾳ μου πρωτοβεστιαρίτης κύριος Δημήτριος ὁ Μουρῖνος παρεκλήτευσε τὴν βασιλείαν μου χρυσοβούλλου λόγου ταύτης τυχεῖν εἰς ἅπερ κέκτηται ἀπὸ δωρεᾶς τῆς βασιλείας μου, ἤτοι τὸ εἰς τὴν Παφλαγονίαν χωρίον τὸ λεγόμενον τοῦ Γογγύλη, ὅπερ παρεδόθη αὐτῷ παρὰ τοῦ προκαθημένου ἐκείνου τοῦ Παναρέτου εἰς ποσότητα ὑπερπύρων διακοσίων, τὸ περὶ τὸ θέμα Ὀπτιμάτων χωρίον τὸ λεγόμενον Δέρκον, ὅπερ ἔχει διὰ προστάγματος τῆς βασιλείας μου ὅ δὴ καὶ περιΐσταται εἰς ὑπέρπυρα διακόσια δύο, τὸ περὶ τὴν Θεσσαλονίκην χωρίον τὸ λεγόμενον Ἑρμήλειαν, τὸ παραδοθὲν αὐτῷ παρὰ τοῦ Φραγγοπούλου εἰς ὑπέρπυρα διακόσια δεκαπέντε, τὸ ἕτερον χωρίον αὐτοῦ περὶ τὴν Θεσσαλονίκην διακείμενον, τὸ καὶ καλούμενον τοῦ Κραββατᾶ, ὅπερ καὶ αὐτὸ παρεδόθη αὐτῷ παρὰ τοῦ τοιούτου Φραγγοπούλου εἰς ὑπέρπυρα ἑκατὸν ἐννέα, τὸ ἕτερον χωρίον αὐτοῦ τὸ περὶ τὴν Θεσσαλονίκην διακείμενον καὶ ὀνομαζόμενον ἡ Ἀντιγόνεια, ὅπερ παρεδόθη αὐτῷ παρὰ τοῦ Κεραμέως εἰς ποσότητα ὑπερπύρων ἑκατὸν τεσσάρων, καὶ τὸν περὶ τὴν Σθλάνιτζαν τόπον μετὰ τῶν διαφερόντων αὐτῷ ἐκεῖθεν πλανητῶν καὶ νομῶν, ἀλλὰ δὴ καὶ τὸ ἐν τῇ νήσῳ Κασανδρείᾳ χειμαδίον μετὰ τοῦ ἐν αὐτῷ παλαιοχωρίου, ὅπερ κατέχει δι᾽ ὁρισμοῦ τῆς βασιλείας μου εἰς τὸ κατέχειν ταῦτα ἀνενόχλητά τε καὶ ἀδιάσειστα καὶ βελ(τιοῦν καὶ συνιστᾶν), εἴτι ἄρα καὶ βούλεται ἀφορῶν εἰς σύστασιν καὶ βελτίωσιν αὐτῶν, ἡ βασιλεία

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148

μου..... ἐπιβραβεύει αὐτῷ τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς, δι᾽ οὗ προστάσσει καὶ διορίζεται (κατέχειν) τὸν πανσέβαστον σεβαστὸν οἰκεῖον τῇ βασιλείᾳ μου πρωτοβεστιαρίτην κύριον Δημήτριον τὸν Μουρῖνον, τὰ εἰρημένα· ἤτοι τὸ περὶ τὴν Παφλαγονίαν χωρίον τὸ ἐπιλεγόμενον τοῦ Γογγύλη, ὅπερ παρεδόθη αὐτῷ παρὰ τοῦ προκαθημένου ἐκείνου τοῦ Παναρέτου εἰς ὑπέρπυρα διακόσια, τὸ περὶ τὸ θέμα τῶν Ὀπτιμάτων χωρίον τὸ λεγόμενον Δέρκον, ὅπερ ἔχει διὰ προστάγματος τῆς βασιλείας μου, ὃ δὴ καὶ περιΐσταται εἰς ὑπέρπυρα διακόσια δύο, τὸ περὶ τὴν Θεσσαλονίκην χωρίον, τὸ λεγόμενον Ἑρμήλειαν, τὸ παραδοθὲν αὐτῷ παρὰ τοῦ Φραγγοπούλου εἰς ὑπέρπυρα διακόσια δεκαπέντε, τὸ ἕτερον χωρίον αὐτοῦ τὸ περὶ τὴν Θεσσαλονίκην διακείμενον τὸ καὶ καλούμενον τοῦ Κραββατᾶ, ὅπερ καὶ αὐτὸ παρεδόθη πρὸς αὐτὸν παρὰ τοῦ τοιούτου Φραγγοπούλου εἰς ὑπέρπυρα ἑκατὸν ἐννέα, τὸ περὶ τὴν Θεσσαλονίκην ἕτερον χωρίον αὐτοῦ τὸ ἐπιλεγόμενον ἡ Ἀντιγόνεια, ὅπερ παρεδόθη αὐτῷ παρὰ τοῦ Κεραμέως εἰς ὑπέρπυρα ἑκατὸν τέσσαρα, καὶ τὸν περὶ τὴν Συλάνιτζαν τόπον μετὰ τῶν διαφερόντων αὐτῷ ἐκεῖσε πλανητῶν καὶ νομῶν· ἔτι τε καὶ τὸ ἐν τῇ νήσῳ Κασσανδρείᾳ χειμαδίον μετὰ τοῦ ἐν αὐτῇ παλαιοχωρίου, ὅπερ ἔχει δι᾽ ὁρισμοῦ τῆς βασιλείας μου, καὶ κεκτῆσθαι ταῦτα, καθὼς εὑρίσκεται μέχρι τῆς σήμερον κατέχων τε καὶ νεμόμενος καὶ νέμεσθαι αὐτὰ ἀναφαιρέτως, ἀδιασείστως καὶ ἔξω πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, ἄνευ μέντοιγε μόνης τῆς καστροκτισίας καὶ τῆς κατεργοκτισίας ὡς ταῦτα μόνα ὀφειλόντων τῶν κτημάτων ἐπιδιδόναι πρὸς τὸ μέρος τοῦ δημοσίου, καθὼς καὶ τὰ ἕτερα προσωπικὰ κτήματα συνιστᾶν τε καὶ βελτιοῦν αὐτὰ καὶ ποιεῖν ἐπ᾽ αὐτοῖς εἴτι ἄρα καὶ βούλεται ἀφορῶν εἰς σύστασιν καὶ βελτίωσιν αὐτῶν, ὡς κατέχων ταῦτα διὰ χρυσοβούλλου τῆς βασιλείας μου, καὶ ὡς ἔχων ἐπ᾽ ἀδείας παραπέμπειν αὐτὰ καὶ πρὸς τοὺς ἐξ ὀσφύος γνησίους παῖδας καὶ κληρονόμους αὐτοῦ καὶ θείοις καὶ ἱεροῖς οἴκοις ἀφιεροῦν καὶ πιπράσκειν ταῦτα, εἴπερ δεήσειε.

Τοίνυν καὶ καθέξει τὰ δηλωθέντα κτήματα ὁ δηλωθεὶς πανσέβαστος σεβαστὸς..... πρωτοβεστιαρίτης κύριος Δημήτριος ὁ Μουρῖνος, καθὼς εὑρίσκεται.....

Ἀρχ. ΧΡΙΣΤΟΦΟΡΟΣ ΚΤΕΝΑΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:09:22 EEST - 13.58.90.148